Mein. xxii b. Schol. Clem. Alex. *Protr.* 27. 11, p. 308. 3 sqq., Stählin. Ἱπποκοωντιδῶν] Ἱπποκόων τις ἐγένετο Λακεδαιμόνιος, οὗ υἱοὶ ἀπὸ τοῦ πατρὸς λεγόμενοι Ἱπποκοωντίδαι ἐφόνευσαν τὸν Λικυμνίου υἱόν, Οἰωνὸν ὀνόματι, συνόντα τῷ Ἡρακλεῖ, ἀγανακτήσαντες ἐπὶ τῷ πεφονεῦσθαι ὑπ' αὐτοῦ κύνα αὐτῶν. καὶ δὴ ἀγανακτήσας ἐπὶ τούτοις ὁ Ἡρακλῆς πόλεμον συγκροτεῖ κατ' αὐτῶν καὶ πολλοὺς ἀναιρεῖ, ὅτε καὶ αὐτὸς τὴν χεῖρα ἐπλήγη. μέμνηται καὶ Ἀλκμὰν ἐν α'. μέμνηται καὶ Εὐφορίων ἐν Θρᾳκὶ (θράκηι P M: corr. Schneidewin) τῶν Ἱπποκόωντος παίδων τῶν ἀντιμνηστήρων τῶν Διοσκούρων

## 30 Ἱππομέδων

*Τοῖος γὰρ Κυχρεῖος ἐνὶ ψαφαρῇ Σαλαμῖνι*

(Mein. xvii.) Partem credit esse Thracis Scheidw. Hippomedontem eum fuisse qui Sparta exsul urbes in Thraciae finibus Ptolemaeo III subiectas obtinuit nonnulli credunt; ipse cum Meinekio libentius credam Epidamnium illum fuisse de quo haec tradit. *Ptolem. Nov. Hist.* vii, Westerm., p. 198. 24 = Photius, *Biblioth.* 153 καὶ Ἱππομέδοντά φησιν (*sc.* Theodorus Samothrax) Ἐπιδάμνιον παιδὸς ἐγχωρίου ἐρασθέντα καὶ μὴ τυγχάνοντα, ὅτι πρὸς ἕτερον κλίνειεν, ἀνελεῖν, εἰς δὲ τὴν Λευκάδα παραγενόμενον καὶ ῥίψαντα αὐτὸν ἀποθανεῖν. Schol. Lycophr. 451 Κυχρεὺς Σαλαμῖνος καὶ Ποσειδῶνος υἱός· ἐβασίλευσε δὲ οὗτος Σαλαμινίων, ὡς Εὐφορίων ἐν Ἱππομέδοντί φησι· τοῖος κτλ. . . . Ἄλλοι δέ, ὅτι ὄφις ποτὲ ἐλυμαίνετο τὴν Σαλαμῖνα καὶ ἀοίκητον ἐποίησεν, ἕως ὁ Κυχρεὺς αὐτὸν ἀπώλεσε. Serpentem qui Archemorum occidit cum Cychreo comparari credit Scheidw., et suppleri oportere velut λοίγιος ἦεν ὄφις

## 31

(Mein. xviii.) Steph. Byz. s.v. Λυκώνη. Λυκώνη· Θρᾴκης ὄρος (Θρᾴκης ὄρος R: Θρᾴκης πόλις V). Εὐφορίων Ἱππομέδοντι.

## 32 Ἱστία· Ἴναχος

(Mein. xxiv.) De titulo non constat: Schol. Clem. Alex. *Protr.* ii. 8 Καρανῷ τῷ Ποιάνθους υἱῷ ἐξ Ἄργους μέλλοντι ἀποικίαν στέλλειν ἐπὶ Μακεδονίαν εἰς Δελφοὺς ἰόντι ἔχρησεν ὁ Ἀπόλλων·

Φράζεο, δῖε Καρανέ, νόῳ δ' ἐμὸν ἔνθεο μῦθον·
ἐκπρολιπὼν Ἄργος τε καὶ Ἑλλάδα καλλιγύναικα
χώρει πρὸς πηγὰς Ἁλιάκμονος· ἔνθα δ' ἂν αἶγας
βοσκομένας ἐσίδῃς πρῶτον, τόθι τοι χρεὼν ἐστιν
ζηλωτὸν ναίειν αὐτὸν γενεάν τε πρόπασαν.

ἐκ δὴ τοῦ χρησμοῦ προθυμότερος γενόμενος Καρανός, σὺν τισιν Ἕλλησιν ἀποικίαν στειλάμενος ἐλθὼν εἰς Μακεδονίαν ἔκτισεν πόλιν καὶ Μακεδόνων ἐβασίλευσεν, καὶ τὴν πρότερον καλουμένην Ἔδεσσαν πόλιν Αἰγὰς (sic Mein. pro Αἶγας) μετωνόμασεν ἀπὸ τῶν αἰγῶν. ταῦτα Εὐφορίων ἱστορεῖ ἐν τῇ Ἱστίᾳ καὶ τῷ Ἰνάχῳ. Ἱστιαίᾳ coni. Mein.: Ἱστιαίᾳ ἢ Ἰνάχῳ Bergk, coll. titulo carminis Theocritei Χάριτες ἢ Ἱέρων. Histiaea vel Hestiaea (ita Strab. xiii. 599, ambae formae Eustath. 280. 19) nobilis erat grammatica Alexandrina, cui carmen dedicatum esse censet Mein. Propter καί duo poemata fuisse censent Schultze et Sitzler. Antiquitates Argolicas hoc carmine expositas esse credit Mein. 4 τότε Schol.: corr. Mein.

## 33 Κλήτωρ

*Αὐλίς τ' Ὠρωπός τε καὶ Ἀμφιάρεια λοετρά*

(Mein. lxix.) Steph. Byz. s.v. Ὠρωπός. Ὠρωπός . . . καὶ ἄλλη Βοιωτίας, περὶ ἧς Εὐφορίων Κλιτορίς· Αὐλίς κτλ. Αὐλίς τ' Holsten: Αὐλὶς ἴδ' Salm.: αὐλιστὴς R, αὐλίστης Pp, αὐλῃστής V Κλίτορις codd.: Κλείτορι Mein.: Κλήτορι Scheidw. coll. nomine ap. Clem. Alex. *Protr.* ii. 39. 6. De Cleitore vid. Paus. viii. 4. 5–7

## 34 Μοψοπία ἢ Ἄτακτα

*Ἀκτῆς δὲ παροίτερα φωνηθείσης·*
*οἳ μὲν δὴ ἐνέπουσι καὶ Ἀσίδα κικλήσκεσθαι,*
*οἳ δὲ Ποσειδάωνος ἐπώνυμον αὐδηθῆναι.*

(Mein. xxvii.) Schol. Dion. Perieg. 620 καὶ ἡ Ἀττικὴ δὲ Ἀσία πρώην ἐκαλεῖτο, ὡς ἱστορεῖ Διονύσιος ὁ Κυζικηνός· οὐ μὴν ἀλλὰ καὶ Ποσειδωνία ἐκαλεῖτο, ὡς Εὐφορίων φησίν. 1 ita Bernhardy pro Ἀσίης παυρότερα (παροίτερα cod. Par.). Versus Mopsopiae initio bene trib. Scheid., velut 'Canam fabulas eius regionis quae nunc Ἀτθίς vocatur, Ἀκτῆς δὲ παροίτερα φωνηθείσης', et tribui Mopsopiae posse censet frr. 90–95, 172, 173. Porro cum Mopsopia Oceani filia esset, ipse fr. 122 huc referam : vid. p. 28, s. v. Euphorio

## 35 (a, b)

*Οἷοι ἐπιθύουσι βοῶν λίες.*

*κάπροι τε λίες τε.*

(Mein. xxvii b.) Choerob. in Theod. Canon. vii, p. 191. 25 sq. Hilg. τὸ λὶς συνεσταλμένον ἔχον τὸ ῑ ποιητικῶς, ὡς παρ' Εὐφορίωνι ἐν Μοψοπίᾳ (ἐμφορίωνι ἐν μομψοπία N C : corr. Mein.). 1 οἷοι] οἱ codd. οἷοι ἐπιθύουσι βοῶν λίες Haupt, Schneid. : οἱ δ' ἐπιθύουσιν βουσὶν λίες Mein.

## 35 (c)

*Εὔμολπος Δόλιχός τε καὶ Ἱπποθόων μεγάθυμος*

Ex Herod. Lentz, ii. 915. 16 versum eruit Sitzler, et propter nomina heroum Atticorum huc transtulit

## 36

Philodemus περὶ Εὐσεβείας, p. 16 Gomp. de triplici Bacchi ortu πρώτην τού]των τὴν ἐκ τῆς μ[ητρός], ἑτέραν δὲ τ[ὴν ἐκ] τοῦ μηροῦ, τρί]την δὲ τὴ[ν ὅτε δι]ασπασθεὶς ὑπὸ τῶν Τιτάνων Ῥέ[ας τὰ] μέλη συνθε[ίσης ἀνεβίω. Καὶ [ἐν] Μοψοπίᾳ δ' Εὐ[φορί]ω[ν ὁ[μολογεῖ [τού]τοις, [ὁ] δ' Ὀρ[φεὺς ἐν Ἅιδου] καὶ πάντα [χρόνον] ἐνδιατρε[ίβειν] (?) corr. Gomperz et Wilam. Mopsopiae rettulit Wilam. *Hermes.* xxxiii. 521

## 37 Ξένιος

(Mein. xxviii.) De argumento non constat. Poema memorant Schol. A ad E 99, Ἡρόδωρός (*F. H. G.* ii, p. 35, fr. 25) τε καὶ Εὐφορίων ἐν τῷ Ξενίῳ ἐκείνῃ (apud Heracleam Ponticam) φασὶ τὸν Κέρβερον ἀνῆχθαι ὑπὸ τοῦ Ἡρακλέους καὶ ἐμέσαι χολήν, ἐξ ἧς φυῆναι τὸ καλούμενον ἀκόνιτον φάρμακον : Anon. περὶ ἰοβόλων καὶ δηλητηρίων φαρμάκων cod. Vat. 299, fol. 487 a b (Rohde, *Mus. Rhen.* xxviii, p. 283) τὸ ἀκόνιτον φύεται μὲν ἐν Ἀκόναις· λόφος δέ ἐστιν ἐν Ἡρακλείᾳ οὕτω καλούμενος Ἀκόναι, ὡς ἱστορεῖ Θεόπομπος (*F. H. G.* iv, p. 644, fr. 200 a) καὶ Εὐφορίων δὲ ἐν τῷ Ξενίῳ : *Etym. Mag.*, p. 50. 38 Ἀκόνιτον· βοτάνη δηλητηριώδης· ὅτι ἐν τοῖς Ἀκοναίοις ὄρεσι τῆς Μαρυανδυνίας φύεται. Εὐφορίων δὲ θηλυκῶς λέγει τὴν βοτάνην κτλ. Fort. frr. 77, 78 hinc desumpta sunt

## 38 Πολυχάρης

*Ἦ καὶ Γαιζῆται περὶ δείρεα χρυσοφορεῦντες*

(Mein. xxxiv.) *Etym. Mag.*, p. 233. 13, cf. Steph. Byz. s.v. Γάζα. Γαιζῆται, οἱ Γαλάται, οἱ τὴν γῆν ζητοῦντες· ἐκπεσόντες γὰρ τῆς ἑαυτῶν χώρας

*πολλὴν γῆν περιῆλθον ζητοῦντες ὅπῃ οἰκήσουσιν·* Εὐφορίων ἢ Πολυχαρίῃ ὅθεν καὶ Γαιζῆται κτλ. *ἐν* Πολυχάρει Mein. *ἢ καὶ* suppl. Bücheler: 'fortasse legendum *δειρήν* vel *δειράδα*', Mein.: *περιδέρρεα* Sylburg. *δειράσι* dubitanter Scheidw. De argumento non constat

39

Θρῆνυξ· Choerob. *εἰς τὸ ὀνοματικόν*, Gaisf. i, p. 80. 20. Mein. xxxv *θρῆνυξ θρήνυκος . . . παρ'* Εὐφορίωνι *ἐν* Πολυχάρει

40 Ὑάκινθος

*Πορφυρέη ὑάκινθε, σὲ μὲν μία φῆμις ἀοιδῶν*
*Ῥοιτείῃς ἀμάθοισι δεδουπότος Αἰακίδαο*
*εἴαρος ἀντέλλειν γεγραμμένα κωκύουσαν.*

(Mein. xxxvi.) Schol. K Theocr. x. 28; cf. Eustath. p. 285, 33. Hoc carmine Hyacinthi historiam cum aliorum iuvenum formosorum, quorum similis fortuna fuisset, coniunctam esse censet Scheidw., unde fr. 174 Hyacintho reddere velit. Fortasse ad hoc poema referenda sunt fragg. 75, 76, et vid. 177 n. 1 *φῆμις* rest. Hemsterh.: *φάτις* vulg.: *φημὶ* K 2 Ῥοιτείῃς Brubach: *ῥοιτείην* T: *ῥοιτείοις* U A: *ῥυτοίοις* E: *ῥητίοις* K

41

*Πλευρά τε καὶ θώρηκα διήρικεν ἰνίου ἄχρις.*

(Mein. xxxviii.) Schol. B D Pind. Nem. vii. 39. *διήρικεν* transit. Alex. Aet., fr. 3. 21

42

*Τό ῥά οἱ δάνος ὤπασεν Ἕκτωρ.*

(Mein. xc, qui frag. 41 praeponere vult et coniungere.) *Etym. M.*, p. 247. 54 Euphorio secutus est fortasse Sophoclem; cf. Ai. 815 sqq., 834 (Scheidw.)

43

*Κώκυτός ⟨τοι⟩ μοῦνος ἀφ' ἕλκεα νίψεν Ἄδωνιν.*

(Mein. xxxvii.) Ptolem. Heph. ap. Phot. bibl. c. 190, p. 146 b, 31 Bekk. *ὅτι τὸ παρ'* Εὐφορίωνι *ἐν* Ὑακίνθῳ *ἀπορούμενον* "Κώκυτος . . . Ἄδωνιν" *τοιοῦτόν ἐστι·* Κώκυτος *ὄνομα* Χείρωνος *ἐπὶ τῇ ἰατρικῇ μαθητὴς ἐθεράπευσε τὸν* Ἄδωνιν *ὑπὸ τοῦ συὸς τρωθέντα.* *τοι* add. Scaliger; cf. Prop. ii. 34. 91

44 Φιλοκτήτης

*Τὸν δ' ἐκάλυψε θάλασσα λιλαιόμενον βιότοιο,*
*καί οἱ πήχεες ἄκρον ὑπερφαίνοντο ταθέντες*
*ἀχρεῖ' ἀσπαίροντος ἅλις Δολοπιονίδαο*
*δυστήνου· ζωὴν δὲ μεθ' ὕδατος ἔκβαλε πᾶσαν*
*χεῖρας ὑπερπλάζων, ἅλμη δ' ἔκλυσσεν ὀδόντας.*

(Mein. xxxix.) Stob. Flor. lix. 16, Hense, iv, p. 403 Εὐφορίωνος Φιλοκτήτου. 3 *ἀσπαίροντες* et *σπαίροντες* codd.: corr. Mein. *ἅλις*] *ἅδην* Mein. 4 *ἔκβαλε* Valck.: *ἔμβαλε* codd. 5 *ἔκλυσσεν* Sitzler: *ἐπέρησεν* Elter, cf. E 291: *ἐκάλυψεν* codd. *ὀδόντας* codd.: *θανόντα* Geel. De morte Iphimachi (Δολοπιονίδαο), qui Philocteti aegro nutrimenta praebuit, vid. Hygin. 102. Sed cum Achivi ex vulnere taetrum odorem ferre non possent, iussu Agamemnonis regis in Lemno expositus est cum sagittis divinis; quem expositum pastor regis Actoris nomine Iphimachus Dolopionis filius nutrivit (Phimacus Dolophionis F: corr. Mein.)

## 45 Dubium

(Mein. xl.) Tzetz. ad Lycophr. 911 Φιλοκτήτης δ' ἐξώσθη εἰς Ἰταλίαν πρὸς Καμπανούς, καὶ πολεμήσας αὐτοὺς πλησίον Κρότωνος καὶ Θουρίου Κρίμισσαν κατοικεῖ· καὶ παυθεὶς τῆς ἄλης Ἀλαίου Ἀπόλλωνος ἱερὸν κτίζει, οὗ καὶ τὸ τόξον αὐτῷ ἀνέθετο, ὥς φησιν Εὐφορίων. Tzetz. ed. i Εὐφορίων, ii Ὠρίων; cf. *Etym. Gen.* 58. 4 ubi ω (ρ sscr.), i. e. Ὦρος Ὠρίων Vat., unde Tzetz. in editionem alteram recepisse Ὠρίων docuit Scheer. (Scheidw.)

## 46 Χιλιάδες

*Καὶ Ψίλιν Ἀσκάνιόν τε . . . . . . Ναυαίθοιο*

(Mein. xli.) Steph. Byz. s. v. Ἀσκανία. De titulo vid. sup. p. 28. Fort. Ἀραί poema huc referendum; vid. ad fr. 8, et fr. 53, 70. Εὐφορίων Χιλιάσιν καὶ εὖ ναίοντα Ναύαιθον coni. Salm.: ⟨καὶ ὕδατα⟩ Friedemann: πρὸς ὕδατα vel ῥόον προτὶ praefert Scheidw. Knaack frag. pertinere censet ad descriptionem interitus navium Graecarum, quas mulieres Troianae ad Nauethum fluvium incenderunt; cf. Schol. Lycophr. 921. Quod si verum est, supplendum λιποῦσαι, et Euphorionem patriae captivarum fines latiore ambitu descripsisse statuendum (Scheidw.). Ad Chiliades rettulit Mein. frr. 55, 97, 98, plurimi fr. 53.

## 47

*Δαίμων . . . . σαιτο φιλοπλοκάμοισι Δυμαίναις*

(Mein. xlii.) Steph. Byz. s.v. Δυμᾶνες· Εὐφορίων Χιλιάσι· Δαίμων κτλ. ⟨ἀντιά⟩σαιτο Düntzer. ⟨οὐδέ κ' ἐπελθὼν | δαίμων μωμήσαιτο, nimirum τὴν χάριν vel in saltando exhibitam gratiam, coll. N 127, P 399, Schneid., Callim. ii, p. 765

## 48

*Ζηνὸς Χαονίοιο προμάντιες ηὐδάξαντο.*

(Mein. xliii.) Steph. Byz. s. v. Χαονία. Χαονία . . . λέγεται καὶ Χαόνιος· Εὐφορίων Χιλιάσι Ζηνὸς κτλ.

## 49

(Mein. xliv.) Athen. x. 436 F Ξέναρχος δ' ὁ Ῥόδιος διὰ τὴν πολυποσίαν Μετρητὴς ἐπεκαλεῖτο· μνημονεύει δ' αὐτοῦ Εὐφορίων ὁ ἐποποιὸς ἐν Χιλιάσι. Cf. Ael. V. H. xii. 26 ποτίστατοι γεγόνασιν ἄνθρωποι, ὥς φασι, Ξεναγόρας ὁ Ῥόδιος, ὃν ἐκάλουν Ἀμφορέα κτλ.

## Incertae Sedis Fragmenta

## 50

*Τῆς μὲν †τῶν, ὅσσα φύει εὐδείελος αἶα,*
*ἢ φυτὸν ἢ ποίην, ὅτεῳ ἐχρίμψατο λύθρον,*
*ὡς πυρὶ καρφόμενα ψαφαρῇ ἰνδάλλετο τέφρῃ.*

(Mein. liv.) Schol. Arati 519 De hydra Lyrnaea. 1 sic A cum ὅσα: ἡ μὲν πάνθ' ὅσα που Ald.: ἣ μὲν πάνθ' ὅσα που Bentl.: τῆς μὲν ἁπάντων Sitzler, vel credas verba nonnulla ante ὅσσα excidisse 2 φυτὸν Mein. Lob.: φύλλον codd.: φύλλ' Maass ποίην Lob.: ποίη codd.: ὁτέῳ ἐγχρίμψατο Lob.: ὅτεῳ χριμψαίατο Mein., coll. φλεγεθοίατο (singul.) infra fr. 160: ὅτε ἐχρίμψατο codd. 3 καρφόμενα Bentl.: καρφώμενον codd. ἰνδάλλεται codd.: corr. Bentl. Euphorio imitatus est Apoll. Rhod. iv. 1505–1512

51

Αιπ[. . .
ξανθὸς δ[. . .
καί οἱ δειμαίνοντ[ι . . .
ταρφέες ἀφλοισμῷ δι [. .
Οἱ δ' ὄπιθεν λασίῃ ὑπὸ γαστέρι πεπ[τηῶτες]
οὐραῖοι λιχμῶντο περὶ πλευρῇσι δρά[κοντες,]
ἐν καί οἱ βλεφάροις κυάνῳ ἠστράπτετον [ὄσσε.
Ἡ που θερμάστραις ἤ που Μελιγουνίδι τοῖαι
μαρμαρυγαί, αἴρησιν ὅτε ῥήσσοιτο σίδηρος,
ἠέρ' ἀναθρῴσκουσι (βοᾷ δ' εὐήλατος ἄκμων),
ἢ Αἴτνην ψολόεσσαν, ἐναύλιον Ἀστερόποιο.
Ἵκετο μὴν Τίρυνθα παλιγκότῳ Εὐρυσθῆι
ζωὸς ὑπὲξ Ἀίδαο δυώδεκα λοῖσθος ἀέθλων·
καί μιν ἐνὶ τριόδοισι πολυκρίθοιο Μιδείης
ταρβαλέαι σὺν παισὶν ἐθηήσαντο γυναῖκες.

E libro membranaceo v saec. p. C., *Berlin. Klass. Texte*, v. 1. 57 sqq. nuper editum: v. 11 Euphorioni adscriptus est a Schol. Nicand. Ther. 288: suppl. edd. Berolin. Cerberus describitur. Fragmentum vix Xenio aut Thraci adscribendum 7 ἠστράπτετον ὄσσε Schubart : ἤστραπτε τὸ λῆμα Ludwich : τορὸν πῦρ Scheidw. coll. Theocr. xxiv. 18 ἀπ' ὀφθαλμῶν δὲ κακὸν πῦρ | ἐρχομένοις λάμπεσκε πυραυγεῖ Sitzler. Olim conieci ἤστραπτον ὀπωπαί 8 ἤ που pap. : τοι Sitzler Μελιγουνίς olim Liparae nomen erat, Callim. H. in Art. 47 11 Schol. Nicand. Ther. 288 Εὐφορίων· ἢ Αἴτνην ψολόεσσαν, ἐναύλιον ἀστεροπαῖον. Dativum requirit Sitzl. Fort. ἢ 'ν' (ἀνά) 14 Μιδέα scribit Strab. viii. 376, ut oppidum Argolicum a Thebano Μίδεια distinguat

52

Χαλκείῃ ἀκάτῳ βουπληθέος ἐξ Ἐρυθείης

(Mein. lxxxii.) Eust. ad Dion. Perieg. 558 ᾄδεται δὲ Ἡρακλῆς εἰς αὐτὴν (Erytheam) πλεύσας χαλκῷ λέβητι, ὅτε καὶ τὰς Γηρυονείους ἀπήλασε βοῦς Χαλκείῃ . . . Ἐρυθείης, ὡς ὁ Εὐφορίων λέγεται ἱστορεῖν

53

Αἳ καὶ ἀναμπέχονοι γυμνοῖς ποσὶν ἠύτε δοῦλαι
ἠοῖαι σαίρεσκον Ἀθηναίης περὶ βωμὸν
νόσφι κρηδέμνοιο, καὶ εἰ βαρὺ γῆρας ἱκάνοι.

(Mein. p. 165.) Plut. de sera Num. vind. c. 12 ἆρ' οὖν οὐκ ἀτοπώτερος τούτων ὁ Ἀπόλλων, εἰ Φενεάτας ἀπόλλυσι τοὺς νῦν, ἐμφράξας τὸ βάραθρον καὶ κατακλύσας τὴν χώραν ἅπασαν αὐτῶν, ὅτι πρὸ χιλίων ἐτῶν, ὥς φασιν, ὁ Ἡρακλῆς ἀνασπάσας τὸν τρίποδα τὸν μαντικὸν εἰς Φενεὸν ἀπήνεγκε. Καὶ μὴν οὐ πολὺς χρόνος ἀφ' οὗ οἱ Λοκροὶ πέμποντες εἰς Τροίαν πέπαυνται τὰς παρθένους, Αἳ καὶ κτλ. 2 ἢ οἷαι codd. : corr. Xylander. Versus Euphorioni adsignavit Toup, *Ep.*

*Crit.* 162; fabulam de Hercule narratam Thraemer, *Herm.* xxv, p. 55; et Χιλιάσιν fort. recte referunt. De virginibus Locrensibus quae, cum Aiax Locrensis vim Cassandrae obtulisset, iussu Minervae quotannis mille annos sorte ductae Troiam mitterentur, vid. Tzetz. ad Lycophr. 1141 εἰ δέ τινες ἐκφύγοιεν ἀνελθοῦσαι λάθρα εἰς τὸ τῆς Ἀθηνᾶς ἱερόν, ἱέρειαι ἐγένοντο· . . . ἦσαν δὲ κεκαρμέναι, μονοχίτωνες, καὶ ἀνυπόδητοι. Callimachi versus esse iudices (velut W. Leaf, *Troy*, p. 395) e Tzetzis verbis ταύτης δὲ τῆς ἱστορίας καὶ Καλλίμαχος μέμνηται, nisi Scholl. A D ad N 66 ἡ ἱστορία παρὰ Καλλιμάχῳ ἐν α' Αἰτίων praesto sint, namque Αἴτια metro elegiaco conscripta sunt. Cf. omnino Farnellium, *Greek Hero-Cults*, pp. 294 sqq. Vid. 46 n.

## 54

*Ἦ γὰρ δὴ Φοῖβός τε Ποσειδάων τ' ἐκάλεσσαν*
*Αἰακὸν οὐκ ἀβοηθὶ περὶ κρήδεμνα δέμοντες.*

(Mein. lviii.) Schol. Pind. Ol. viii. 41 τὸν Ποσειδῶνα καὶ Ἀπόλλωνα εἰς τὴν τοῦ τείχους (*sc.* Ἰλίου) κατασκευὴν φησι τὸν Αἰακὸν προσλαβεῖν. Παρ' οὐδενὶ δὲ πρεσβυτέρῳ Πινδάρου ἡ ἱστορία· ὁ δὲ Εὐφορίων φησίν· Ἦ γὰρ κτλ. 1 δηίφοβος Schol.: corr. Gerhard 2 ἀβοήθητα περὶ A: ἀβοήθητα πρὸς R: ἀβοηθὶ πόλιος Lobeck: ἀβοήθητοι omisso περί Boeckh: ἀβόητα περὶ Mommsen: ἀβοητὶ πατρὸς Mein. nempe iusserat Iuppiter (Φ 444) moenia struere, sed postea Lobeckii correctionem praefert. ἀβοηθὶ in textum recepi

## 55

(Mein. cl.) Serv. ad Aen. ii. 32: Ut Euphorion dicit, Priamus ex Arisba filium vatem suscepit. Qui cum dixisset quadam die nasci puerum, per quem Troia posset everti, pepererunt simul et Thymoetae uxor et Hecuba, quae Priami legitima erat. Sed Priamus Thymoetae filium uxoremque iussit occidi. Vid. 46 n. fin.

## 56

(Mein. cxxv.) Schol. Lycophr. 266 Στησίχορος δὲ (fr. 69) καὶ Εὐφορίων τὸν Ἕκτορά φασιν εἶναι υἱὸν τοῦ Ἀπόλλωνος, καὶ Ἀλέξανδρος ὁ Αἰτωλῶν ποιητής, (fr. 13) cf. Schol. A D Γ 314

## 57

*Ἐς Φθίην χιλοῖο κατήιε πάμπαν ἄπαστος·*
*τούνεκα Μυρμιδόνες μιν Ἀχιλλέα φημίξαντο.*

(Mein. lvi.) *Etym. Mag.*, p. 181. 31, Schol. A 1 (Cram. *Anecd. Par.* iii. 115), quem seq. Eust. p. 15. 9. Tzetz. *Exeg. Hom. Il.*, p. 782. 21. 1 ἀχειλοῖο κοτήιε cod. Par.: χιλοῦ Eust. ἄγευστος Eust. 2 'apertum est hoc de Achille dici ex Chironis disciplina ad patrios Lares revertente', Mein.

## 58

*Ἣ οἱ Μούνιτον υἷα τέκε πλομένῳ ἐνὶ ὥρῳ*
*ἀλλά ἑ Σιθονίῃ τε καὶ ἐν κνημοῖσιν Ὀλύνθου*
*ἀγρώσσονθ' ἅμα πατρὶ πελώριος ἔκτανεν ὕδρος*

(Mein. lv.) Schol. Lycophr. Tzetz. 495 Laodice, Priami filia, Munitum Acamanti peperit ὥς φησιν Εὐφορίων· Ἣ οἱ κτλ. 2 κνημοῖσιν Mein.: κνήμῃσιν edd.

## 59

*Οἳ πλόον ἠρνήσαντο καὶ ὅρκους Αἰγιαλήων.*

(Mein. lxxx.) Schol. B. B 498 Ταναγραῖοι γὰρ οὐκ ἐστράτευσαν, Εὐφορίων· Οἳ πλόον κτλ. Sic Eust. ad Il. 266. 20 ὅρκον Schol.: corr. Mein.: ὅρμους αἰγιαλοῖο Eust. οἳ . . . Αἰγιαλήων] poeta loquitur de fide Agamemnoni data a Graecis B 339 (Mein.) Αἰγιαλῆες sunt Graeci: cf. Antim. fr. 5 οἷοι ἔσαν βασιλεύτορες Αἰγιαλήων, [Theocr.] xxv. 174

## 60

*Αὖλίν τέ σφ' ἄγαγον*

(Mein. cxxix.) Schol. A. B 496 = Herodian. ii. 34. 22 L. παρὰ τῷ Εὐφορίωνι Schol. τέ σφ' ἄγαγον Mein.: τέ σφ' ἄγον Dind.: τ' ἔσφαγον cod.

## 61

*Πεσσά ⟨τε⟩ Ναυπλιάδαο*

(Mein. cvii.) Eust. ad Od., p. 1397. 9 καὶ Εὐφορίωνος τε supp. Mein.; cf. Soph. Frag. Palamed. 479 Pearson

## 62

Serv. Aen. iii. 17 De Aeno oppido Thraciae Euphorio et Callimachus hoc dicunt etiam, quod Aenum dicatur a socio Ulixis illic sepulto eo tempore quo missus est ad frumenta portanda, cf. Serv. Aen. ii. 81. Αἶνος, Steph. Byz., unde Aenus supra Mein., Schneider

## 63

*Πολλάκι οὐ κλισίῃσι Πυληγενέεσσί τε νηυσὶν*
*ἐννύχιοι πίλναντο νόσων ἄπερ ἰητῆρος.*

(Mein. lix.) Schol. T ad K 18 ὥς που καὶ Εὐφορίων φησιν· Πολλάκι κτλ. 1 πολλάκις ἐν vel πολλάκι οἱ Mein.: πολλάκις οὐ Wil. οὐ Maass: οἱ MS. 2 πίτναντο cod.: corr. Heyne, Mein. νόσῳ cod.: corr. Mein. ἰητῆρι coni. Mein.; 'ad Nestorem Graeci tanquam ad medicum accesserunt', Mein.

## 64

*Ὅς ῥά τε πᾶσιν ἔικτο θαλάσσιος ἠύτε Πρωτεύς.*

(Mein. lxxvii.) Schol. Ap. Rhod. i. 156 ὡς καὶ ὁ Εὐφορίων· Ὅς κτλ.

## 65

*Οὐ γὰρ Ἀλήσιοί ἐστε.*

(Mein. c.) Steph. Byz. s. v. Ἀλήσιον. ὁ δὲ Εὐφορίων· Οὐ γὰρ κτλ. Credit Scheidw. fragmentum ad Nestoris narrationes pertinere, coll. Λ 756 sqq.

## 66

*Οἳ δ' οὔπω Σιμόεντος Ἀχαιΐδας ἄρσαμεν ἵππους.*

(Mein. lxxv.) Clem. Alex. *Str.* v, ch. 5. 31 ὁμοίως καὶ Εὐφορίων ὁ ποιητὴς τὸν Νέστορα παράγει λέγοντα Οἳ δ' κτλ. 'Videtur Nestor Graecos ad bellum excitare "Quid nos hic desidemus, qui . . .?"' Scheidw. εἰ δὲ Düntzer: οἵ γ' Heyse ἤρσαμεν Mein.

67

Schol. Lycophr. 658 Στησίχορός φησιν Ὀδυσσέα ἐπὶ τῆς ἀσπίδος φέρειν δελφῖνος τύπον· καὶ Εὐφορίων δὲ τούτῳ συμφθέγγεται. De causa fabulam narrabant Zacynthii, Plut. de sollert. anim. 985 B

68

Ioh. Lydus de mens. iv. 140 περὶ τοῦ δουρείου ἵππου ὁ Εὐφορίων φησὶν πλοῖον γενέσθαι τοῖς Ἕλλησιν Ἵππον λεγόμενον· ἕτεροι δέ φασιν πύλην γενέσθαι οὕτω προσαγορευομένην ἐν τῇ Τροίᾳ, δι' ἧς εἰσῆλθον οἱ Ἕλληνες. ὁ Ἔφορος coni. Hecker, Philol. iv. 489

69

(Mein. cli.) Serv. Aen. ii. 79 Autolycus quidam fur fuit, qui se varias formabat in species. Hic habuit liberos Aesimum, unde natus est Sinon, et Anticliam, unde Ulixes; consobrini ergo sunt. Nec immerito Vergilius Sinoni dat et fallaciam et proditionis officium, ne multum discedat a fabula, quia secundum Euphorionem Ulixes haec fecit

70

(Mein. clii.) Serv. Aen. ii. 201 'Ut Euphorion dicit, post adventum Graecorum sacerdos Neptuni lapidibus occisus est, quia non sacrificiis eorum vetavit adventum. Postea abscedentibus Graecis cum vellent sacrificare Neptuno, Laocoon Thymbraei Apollinis sacerdos sorte ductus est, ut solet fieri, cum deest sacerdos certus. Hic piaculum commiserat ante simulacrum numinis cum Antiopa sua uxore coeundo, et ob hoc immissis draconibus cum suis filiis interemptus est.' Utrum haec omnia ad Euphorionem pertineant incertum (Scheidw.). Chiliadibus rettulit Heyne.

71

(Mein. cliii.) Serv. Aen. ii. 341 Hunc autem Coroebum stultum inducit Euphorion, quem et Vergilius sequitur, dans ei 'dolus an virtus' sqq.

72

(Mein. p. 98.) Paus. x. 26. 8 Ὅμηρος μέν γε ἐδήλωσεν ἐν Ἰλιάδι Μενελάου καὶ Ὀδυσσέως ξενίαν παρὰ Ἀντήνορι, καὶ ὡς Ἑλικάονι ἡ Λαοδίκη συνοικοίη τῷ Ἀντήνορος . . . Ἕποιτο ἂν οὖν τῇ Μενελάου καὶ Ὀδυσσέως κηδεμονίᾳ περὶ οἶκον τὸν Ἀντήνορος μηδὲ ἐς τοῦ Ἑλικάονος τὴν γυναῖκα ἔργον δυσμενὲς ὑπ' Ἀγαμέμνονος καὶ Μενελάου γενέσθαι. Εὐφορίων δὲ ἀνὴρ Χαλκιδεὺς σὺν οὐδενὶ εἰκότι τὰ ἐς τὴν Λαοδίκην ἐποίησεν. Quae in Laodicen admiserint Atridae, nescimus (Scheidw.)

73

*Δίρφυν ἀνὰ τρηχεῖαν ὑπ' Εὐβοίῃ κεκόνιστο.*

(Mein. lxxxiii.) Schol. Lycophr. 374. κεκόνιστο, perierat; cf. Hesych. Κονίζεσθαι· κυλίεσθαι, φθείρεσθαι, κονιορτοῦσθαι. Frag. pertinet ad descriptionem interitus Graecorum, quorum multi Nauplii dolis ad Euboeae cautes perierunt; cf. Lycophr. 374 sqq., Scheidw.

74

*Μυσοῖο παρ' ὕδασιν Ἀσκανίοιο*

(Mein. xciv.) Apollod. ap. Strab. xiv. 5. 29; cf. Strab. xii. 4. 8. 'Ad Argonautica pertinet: Ascanio enim fluvio, ab Apollonio non commemorato, adiacet Cius urbs cum Hylae raptu coniuncta; cf. Apoll. Rhod. i. 1178, 1346, 1354-5,' Scheidw. Vid. Alex. Aet. 6

75

*Χθιζόν μοι κνώσσοντι παρ' Ἀργανθώνιον αἶπος*

(Mein. lxxxv.) *Etym. Mag.*, p. 135. 26. Ad Hylae raptum pertinere videtur (Prop. i. 20. 33), unde ex Hyacintho fortasse desumptum (vid. ad fr. 40).

Reitzenstein hunc versum somnii (Herculis?) enarrationem incohasse conicit; Polyphemi (vid. fr. 76) Sitzler, *Woch. Kl. Phil.* 1909, 681, qui Hylae εἴδωλον somniis visum consolatum esse Polyphemum conicit

76

(Mein. cxlix.) Schol. Theocr. xiii. 7 τὸν Ὕλαν φησίν . . . Εὐφορίων Πολυφήμου τοῦ Ποσειδῶνος ἐρώμενον: Εὐφορίδης K: corr. Callierges, edit. princ. schol. Εὐφήμου K, corr. Hemsterh.: ἐρωμένου K, corr. Brubach; cf. Schol. Ap. Rhod. i. 1207 Σωκράτης ἐν τῷ πρὸς Εἰδόθεόν φησι τὸν Ὕλαν ἐρώμενον Πολυφήμου καὶ οὐχ Ἡρακλέους γενέσθαι: et I. 40 τὸν Πολύφημον Ἐλάτου παῖδα εἶπεν Ἀπολλώνιος, Σωκράτης δὲ καὶ Εὐφορίων Ποσειδῶνος. Ad Hyacinthum potest referri frag.; cf. frr. 40, 75, 174

77

*Ἀποπρὸ δὲ Βέβρυκα πύκτην*

(Mein. civ.) Choerob. in Theod. canon., p. 295. 16 sqq. Hilg. Amycum dici censet Mein.; cf. Apoll. Rhod. ii. 15 sq. Vid. ad fr. 37. De quantitate Βεβρῡκες agit Mooney ad Apoll. Rhod. p. 426, vid. Choerob.

78

*Δωροφόροι καλεοίαθ᾽ ὑποφρίσσοντες ἄνακτας*

(Mein. lxxiii.) Posidon. ap. Athen. vi. 263 D Μαριανδυνοὶ μὲν Ἡρακλεώταις ὑπετάγησαν, διὰ τέλους ὑποσχόμενοι θητεύσειν παρέχουσιν αὐτοῖς τὰ δέοντα, προσδιαστειλάμενοι μηδενὸς αὐτῶν ἔσεσθαι πρᾶσιν ἔξω τῶν Ἡρακλεωτῶν χώρας, ἀλλ᾽ ἐν αὐτῇ μόνον τῇ ἰδίᾳ χώρᾳ. τάχ᾽ οὖν διὰ τοῦτο καὶ Εὐφορίων ὁ ἐποποιὸς τοὺς Μαριανδύνους δωροφόρους κέκληκε. Vid. fr. 37 n. et 176 n. fin.

79

*Ἠοῖ δ᾽ Εὐάρχοιο φερεκλεὲς ἀμφὶ ῥέεθρον*

(Mein. lxxxvi.) *Etym. Mag.*, p. 388. 48 . . . φασὶ δὲ καὶ ποταμόν τινα παρὰ τὴν Σινώπην Εὔαρχον ὑπὸ τῶν Ἀργοναυτῶν προσηγορεῦσθαι, ἀφ᾽ οὗ πρῶτον ἔπιον, ὥς φησιν Εὐφορίων· Ἠοῖ κτλ. ἠ̃ οἱ et φέρε κλέος *Et.*: corr. Kaibel. 'Notat Mein. Marcianum Heracleotam (epitom. Peripli Menippei 9, G G M i, p. 571) Euarchum a Sinope octoginta stadiorum intervallo abesse testari. Itaque probabile esse apud Euphorionem de alio flumine agi, quod Argonautae boni ominis causa Euarchum appellarint' (Scheidw.). Sed cum Sinopen appulerint Argonautae (Ap. Rhod. ii. 946 sqq.), ea regio significari videtur. Vid. fr. 37 n.

80

*Ὁπλοτέρου τ᾽ Ἀχιλῆος ἀκούομεν Εὐρυλόχοιο,*
*Δελφίδες ᾧ ὕπο καλὸν Ἰήϊον ἀντεβόησαν*
*⟨Κρῖσαν⟩ πορθήσαντι, Λυκωρέος οἰκία Φοίβου.*

(Mein. liii.) Hypoth. Pind. Pyth. p. 3 Drach. Εὐρύλοχος ὁ Θεσσαλὸς καταπολεμήσας Κιρραίους ἀνεκτήσατο τὸν ἀγῶνα τοῦ θεοῦ . . . τὸν δὲ Εὐρύλοχον νέον ἐκάλουν Ἀχιλλέα, ὡς Εὐφορίων ἱστορεῖ· Ὁπλοτέρου κτλ. Ἀλεξάνδρῳ (vid. fr. 1) tribuere vult Scheid. p. 16 2 ᾧ ἔπι Mein. ἀντεβόησαν Boeckh (ἀντηγώνισαν G), 'de duabus chori partibus alterno cantu sese excipientibus' Mein.: ἀνεβόησαν vulg. 3 Κρῖσαν add. Boeckh; cf. Callim. H. ii. 19 Λυκωρέος ἔντεα Φοίβου

81

*Θιβρήν τε Σεμίραμιν*

(Mein. xcviii.) Schol. Nicand. Ther. 35 Ἀλεξάνδρῳ (vid. fr. 1) vult tribuere Scheidw., p. 15

82

*Κακώτερε Καλλικόωντος*

(Mein. clvi.) Herod. Περὶ μον. λεξ. 10. 6, L. ii. 915 De Calliconte sive Cilliconte, qui Miletum vel Samum vel Syrum prodidit, vid. Schol. Ar. Pac. 363, al., Callim. fr. 227, Suid. s.v. πονηρός. Fortasse ad Ἀράς pertinere censet Scheidw.

83

*Ἠδ' ὅσσα προτέροισιν ἀείδεται Εὐρυβάτοισιν.*

Iohannis Diaconi comm. ad Hermogen. Περὶ μεθόδου δεινότητος (Rabe, *Mus. Rh.* lxiii, p. 141), qui Aristoph. frag. 184 K, et Aristot. fr. 84 Rose testatur; inde πολλῶν Εὐρυβάτων καὶ πανούργων γενομένων ἄλλοις ἄλλα ἐπράττετο, ὡς μέμνηται καὶ Εὐφορίων· Ἠδ' ὅσα κτλ. ὅσσα Rabe. Cf. Plat. Protag. 327 E, Dem. 18. 24. Fortasse ad Ἀράς pertinere censet Scheidw. (Deest ap. Mein.)

84

*Κλαίοντες δέ τε κοῦρον ἐπ' ἀγχιάλοις πιτύεσσι*
*κάτθεσαν, ὀκκόθε δὴ στεφάνωμ' ἄθλοις φορέοντο·*
*οὐ γάρ πω τρηχεῖα λαβὴ καταμήσατο χειρῶν*
*Μήνης παῖδα χάρωνα παρ' Ἀσωποῦ γενετείρῃ,*
*ἐξότε πυκνὰ σέλινα κατὰ κροτάφων ἐβάλοντο.*

(Mein. xlvii.) Plut. Symp. 676 F Εὐφορίωνα οὕτω πως περὶ Μελικέρτου λέγοντα Κλαίοντες κτλ. De morte Melicertae, in cuius honorem Ludi Isthmiaci celebrabantur tradunt Paus. i. 44. 8 alii. 1 ἐπ' ἀγχιάλοις πιτύεσσι Mein.: ἐπ' αἰλίσι πιτύεσσι codd.: ἐπ' αἰγιαλῖσι πίτυσσι H. Stephan.: ἐπ' αἰγιαλοῦ πιτύεσσι Schneider 2 κάτθεσαν Donacinus et Amphimachus fratres, qui corpora Inous et Melicertae Corinthum ad Sisyphum tulerunt: Tzetz. ad Lycophr. 107, 229 ὀκκότε Plut.: corr. Reiske, 'e quibus' στεφάνωμ' Bernardakis: στεφάνων Plut.: στεφάνους Reiske φορέονται Plut.: corr. Scheidw.: ὧν τότε δὴ στεφάνωμ' ἄθλοισι φέροντο Sitzler 3 fort. κατενήρατο Mein. χειρῶν sc. Herculis elidentis: Ἀσωποῦ γενέτειρα est Nemea; cf. Paus. v. 22. 6. al. Carmini 'Dionyso' hoc frag. et 85, 86 tribuere vult Scheidw. 4 μίμης vel μήμης codd.: corr. Duebn. Leo Nemeensis Lunae est filius; cf. Epimen. fr. 13 K

85

*Ἄστεα Δυρραχίης τε καὶ ἔθνεα Ταυλαντίνων*

(Mein. lxxi.) Steph. Byz. s.v. Δυρράχιον; cf. s.v. Ταυλάντιοι, et vid. 84 n sub fin.

86

*Ὀθνεῖον Περσεῖ τελέων γάμον Εὐρυμέδοντι*

(Mein. lxvii.) Schol. T Ξ 319:

ὀθνεῖον Πέρσης λέων γε μὲν Εὐρυμέδοντα

correxit versum Lobeck, Aglaoph., p. 574, qui Πέρσῃ scripsit, sed Περσεὺς Εὐρυμέδων habet Ap. Rhod. iv. 1513. Cf. fragg. 18, 175, 84 n. sub fin.

87

Ὀρχομενὸν Χαρίτεσσιν ἀφαρέσιν ὀρχηθέντα

(Mein. lxvi.) Pollux, iv. 95 Ὀρχούμενον Χαρίτων φάρεσιν A : ἀφαίρεσιν F : corr. Pierson. Cf. ad fr. 22

88

Πάντα δέ οἱ νεκυηδὸν ἐλευκαίνοντο πρόσωπα.

(Mein. clvii.) Herod. Περὶ μον. λεξ. 46. 8 νέκυνα ἐλεύκαινον τὰ cod.: corr. Cramer. Nietzsche de terrore percussorum Hesiodi interpretatur animadvertentium se innocentem occidisse; cf. fr. 21; Meineke de Bacchante potuisse dici censet, gypso faciem illinere solito, Lobeck, Aglaoph., p. 654. Vid. ad fr. 22

89

Ὑετόμαντις ὅτε κρώξειε κορώνη.

(Mein. lxv.) Schol. Nicand. Ther. 406, cf. Hes. Op. 745; Arat. 949, 1022; Hor. Od. iii. 17. 12. Vid. ad fr. 22

90

Οὕνεκα δή μιν

ἶφι βιησαμένῳ Ἑλένη ὑπεγείνατο Θησεῖ.

(Mein. lxi.) *Etym. Gud.*, p. 285. 45, unde *Etym. Mag.* 480. 17, *Etym. Angelicanum* (Ritschl. Op. i. 687). 1 δή μιν *Etym. Mag.* (μιν = Iphigenia): δ' ἡμῖν, Cramer, *An.* ii, p. 450. 29, *Etym. Gud.* 2 βιησαμένῳ Cramer, *An.*; Bekk. *Anecd. Gr.*, p. 1446, cf. δαμασσαμένῳ, inf. fr. 96. 2: βιασαμένη *Etym. Mag.*, *Gud.*: βιησαμένη *Angel.*, cf. Alex. Aetoli Frag. 12; Paus. ii. 22. 6. Vid. fr. 34 n.

91

Ἀγχίαλον Βραυρῶνα, κενήριον Ἰφιγενείης

(Mein. lxxxi.) Schol. Dind. Arist. Lysistr. 646 Οἱ δὲ τὰ περὶ Ἰφιγένειαν ἐν Βραυρῶνί φασιν, οὐκ ἐν Αὐλίδι. Εὐφορίων ἀγχίαλον κτλ. Aliter Eurip. *I. T.* 1462 sqq. Vid. Wilam. *Hermes*, xviii. 259, et fr. 34 n.

92

Τέκνον, μὴ σύ γε μητρὸς ἀπ' ἀνθερεῶνας ἀμήσῃς,
ἠελίους ἥτις σε τριηκοσίους ἐφόρησα,
τέκνον, ὑπὸ ζώνῃ, φοβερὰς δ' ὠδῖνας ἀνέτλην
ἐς φάος ἐρχομένου, λαρὸν δ' ἐπὶ χείλεσι πρώτη
μαστὸν ἐπισχομένη λευκῷ σ' ἔψισα γάλακτι.

(Mein. li.) Stob. Flor. 78. 5, Hense, iv, p. 617 Primum versum adfert *Et. Mag.* 109. 27, Schol. T Ω 165, alterum Cocondrius omissis ἥτις σε (Spengel, *Rh. Gr.* iii. 234. 24). 1 ἀπ' ἀνθερεῶνας Stob.: ὑπ' ἀνθερεῶνος *Etym.*, ἀπ' Schol. Hom. 5 λευκᾷ ἔψησα Stob. edd.: corr. Mein. Similes esse preces Clytemnestrae, Aesch. Choeph. 895, 907, Eur. Elect. 1206 adnotat Scheidw. Vid. fr. 34 n.

93

Φοιταλέος διὰ πᾶσαν ἄδην ἐπάτησε κοθόρνῳ.

(Mein. lxxviii.) Schol. Apoll. Rhod. iv. 55 φοιταλέην· ἐμμανῆ, μανιωδῶς πορευομένην· φοῖτος γὰρ ἡ μανία λέγεται· καὶ Εὐφορίων· Φοιταλέος κτλ. φοιταλέῳ κοθόρνῳ vel φοιταλέοις κοθόρνοις temptat Mein., qui fragmentum cum sequenti coniungit. Vid. fr. 34 n.

94

Προπρὸ δέ μιν δασπλῆτες ὀφειλομένην ⟨ἄγον⟩ οἶμον
⟨γήλοφον εἰς⟩ ἀργῆτα θυγατριδέαι Φόρκυνος
Εὐμενίδες ναρκίσσου ἐπιστεφέες πλοκαμῖδας.

(Mein. lii.) Schol. Soph. Oed. Col. 681. 1 ἄγον add. Mein. 2 Εὐμενίδες ἀργῆτα θυγατρίδαι Φ. ναρκίσσοι ἐπιστεφέες πλοκαμι(δ sscr)L γήλοφον εἰς add. Hermann Εὐμενίδες μάργητα θ. Φ. | ⟨αὐσταλέας⟩ κτλ. vel ναρκίσσου καλύκεσσιν ἐ. π. Mein. Cur Furias Phorcynis neptes dixerit latere adfirmat Scheidw. Vid. fr. 34 n.

95 a, b

Οὗτος μὲν Ζωστὴρ Φοίβου πέδον

(Mein. lxxxix.) *Etym. Mag.* 414. 212 τόπος τῆς Ἀττικῆς. Versum ἠδ' ἐπαπειλήσας Ζωστηρίῳ Ἀπόλλωνι ibidem servatum Euphorioni tribuit Mein. Vid. fr. 34 n.

96

Ὄφρα κε μαντεύοιτο μεθ' υἱάσι Βοιωτοῖο,
τόν ῥα Ποσειδάωνι δαμασσαμένῳ τέκεν Ἄρνη,
Βοιωτὸν δ' ὀνόμηνε· τὸ γὰρ καλέσαντο νομῆες,
ὅττι ῥα πατρῴῃσι βοῶν ἀπεθήκατο κόπροις.

(Mein. xlix.) Steph. Byz. s.v. Βοιωτία. τόν ῥα . . . κόπροις *Etym. Mag.* 203. 8; vv. 3, 4 Eustath. 270. 28, ex *Etym.* 2 δαμασσαμένη Steph., *Etym. Mag.* et *Angel.*; corr. Mein. coll. frag. 90 τέκε μήτηρ *Etym. M.*, *Angel.* 3 καλέουσι βοτῆρες *Et. M.*, *Angel.* 4 ἐπεθήκατο P Steph. et V *Etym.*; textum confirmat Eurip. fr. 489 N τὸν δ' ἀμφὶ βοῦς ῥιφέντα Βοιωτὸν καλεῖν. Fort. de Tiresia dictum est: cf. Callim. Lav. Poll. 125 sq. (Mein.)

97

(Mein. xlvi.) Serv. ad Verg. Ecl. vi. 72 'Gryneum nemus est in finibus Ioniis Apollini consecratum, . . . in quo aliquando Calchas et Mopsus dicuntur de peritia divinandi inter se habuisse certamen; et cum de pomorum arboris cuiusdam contenderent numero, stetit gloria Mopso; cuius rei dolore Calchas interiit. Hoc autem Euphorionis continent carmina quae Gallus transtulit in sermonem Latinum.' Vid. Strab. xiv. 641; Colophonem Ioniae locum fuisse tradiderunt Νόστοι Epici, Hesiod. fr. 160 R, Pherecydes, *F. H. G.* i. 94; prope Myrinam Aeolida Euphorio; cf. Pearson. *Fragg. Sophocl.* i, p. 122. Vid. 46 n. fin.

98

Πύραμον ἠχήεντα, πόλιν δ' ἐκτίσσατο Μαλλόν,
ἧς πέρι δῆριν ἔθεντο κακοφράδες ἀλλήλοισι
Μόψος τ' Ἀμφίλοχός τε, καὶ ἄκριτα δηρινθέντες
μουνὰξ ἀλλίστοιο πύλας ἔβαν Ἀϊδονῆος.

(Mein. l.) Schol. Lycophr. 440 κατὰ τὸν αὐτὸν δὲ καιρὸν ὁ Ἀμφίλοχος ὁ Ἀμφιαράου υἱὸς καὶ Μόψος οἱ μάντεις ἦλθον εἰς Κιλικίαν. μετὰ δὲ ταῦτα ὁ Ἀμφίλοχος βουλόμενος χωρισθῆναι εἰς τὸ Ἄργος, παρέθετο τῷ Μόψῳ τὴν βασιλείαν αὐτοῦ, κελεύσας φυλάξαι μέχρι ἐνιαυτοῦ ἑνός. πληρουμένου δὲ τοῦ ἐνιαυτοῦ ἦλθεν ὁ Ἀμφίλοχος καὶ οὐ παρεχώρει ὁ Μόψος· διὸ περὶ τούτου πρὸς ἀλλήλους διαφερόμενοι ὑπ' ἀλλήλων ἀνῃρέθησαν· οὓς θάψαντες οἱ ἀνοικοῦντες πύργον μεταξὺ τῶν τάφων κατεσκεύασαν, ὅπως μηδὲ μετὰ θάνατον ἀλλήλων κοινωνήσωσιν, ὡς καὶ Εὐφορίων Π ύ ρ α μ ο ν κτλ. 2 θέντες edd. : corr. Mein. κακοφραδὲς vulg. adverb. ; sed a κακοφράς ductum esse censet Scheidw., ut ἀποφράς 3 ἄρκια codd. : corr. Mein. δῆριν θέντες codd. : corr. Spohn. Eadem historia est atque regiorum fratrum Thebanorum 4 ἀλήστοιο Ἀϊδωνῆος vulg. : corr. Mein. Vid. 46 n. fin.

99

Schol. A B D Ξ 295 Ἥραν τρεφομένην παρὰ τοῖς γονεῦσιν εἷς τῶν γιγάντων βιασάμενος Εὐρυμέδων ἔγκυον ἐποίησεν· ἡ δὲ Προμηθέα ἐγέννησεν. Ζεὺς δὲ ὕστερον γήμας τὴν ἀδελφήν, καὶ γνοὺς τὰ γενόμενα, τὸν μὲν Εὐρυμέδοντα κατεταρτάρωσε, τὸν δὲ Προμηθέα προφάσει τοῦ πυρὸς δεσμοῖς ἀνήρτησεν. ἡ ἱστορία παρὰ Εὐφορίωνι. Cf. schol. T ad loc. ἔνιοι δέ φασι παρθένον οὖσαν Ἥραν ἐρασθῆναι Εὐρυμέδοντος, ἑνὸς τῶν γιγάντων, καὶ ἐξ αὐτοῦ τεκεῖν τὸν Προμηθέα. Δία δὲ ἐγνωκότα τὸν μὲν ταρταρῶσαι, τὸν δὲ Προμηθέα προφάσει τοῦ πυρὸς σταυρῶσαι

100

Schol. A B D N 21 Αἰγάς] πόλις Ἀχαΐας ἐν Πελοποννήσῳ, ἔνθα τιμᾶται ὁ Ποσειδῶν, ἄγεται δὲ καὶ Διονύσῳ ἑορτή, ἐν ᾗ θαυμάσιον ἐπιτελεῖσθαί φασιν ἔργον, ἐπειδὰν ὁ χορὸς συστὰς τὰς τοῦ δαίμονος τελετὰς ὀργιάζῃ· ἄμπελοι γάρ, ἃς καλοῦσιν ἐφημέρους, ἀνισχούσης μὲν ἡμέρας βλαστάνουσι καρπόν, ὥστε δρέποντας αὐτοὺς ἑσπέρας οἶνον ἄφθονον ἔχειν. ἡ ἱστορία παρὰ Εὐφορίωνι. Cf. Eur. Phoen. 227, Soph. fr. 255 Pearson

101

Schol. A D Σ 486 Ὑριεὺς ὁ Ποσειδῶνος καὶ Ἀλκυόνης, μιᾶς τῶν Ἄτλαντος θυγατέρων, ᾤκει μὲν ἐν Τανάγρᾳ τῆς Βοιωτίας, φιλοξενώτατος δὲ γενόμενος ὑπεδέξατό ποτε καὶ θεούς. Ζεὺς γὰρ καὶ Ποσειδῶν καὶ Ἑρμῆς ἐπιξενωθέντες αὐτῷ καὶ τὴν φιλοφροσύνην ἀποδεξάμενοι, παρῄνεσαν αἰτεῖν ὅτι ἂν βούλοιτο. ὁ δὲ ἄτεκνος ὢν ᾐτήσατο παῖδα. λαβόντες οὖν οἱ θεοὶ τὴν τοῦ ἱερουργηθέντος αὐτοῖς βοὸς βύρσαν ἀπεσπέρμηναν εἰς αὐτὴν καὶ ἐκέλευσαν κρύψαι κατὰ γῆν καὶ μετὰ δέκα μῆνας ἀνελέσθαι· ὧν διελθόντων ἐγένετο ὁ Οὐρίων, οὕτως ὀνομασθεὶς διὰ τὸ οὐρῆσαι τὸ σπέρμα αὐτοῦ τοὺς θεούς, ἔπειτα δὲ κατ' εὐφημισμὸν Ὠρίων. συγκυνηγετῶν δὲ οὗτος Ἀρτέμιδι ἐπεχείρησεν αὐτὴν βιάσασθαι. ὀργισθεῖσα δὲ ἡ θεὸς ἀνέδωκεν ἐκ τῆς γῆς σκορπίον, ὃς αὐτὸν πλήξας κατὰ τὸν ἀστράγαλον ἀπέκτεινε. Ζεὺς δὲ συμπαθήσας κατηστέρισεν αὐτόν. διὸ τοῦ Σκορπίου ἀνατέλλοντος ὁ Ὠρίων δύνει. ἡ ἱστορία παρὰ Εὐφορίωνι. οὐρῆσαι ὥσπερ τοὺς θεοὺς Scholl. : emend. Scheidw.

102

Schol. A D Ω 602 Νιόβη θυγάτηρ μὲν ἦν Ταντάλου, γυνὴ δὲ Ἀμφίονος, γαμηθεῖσα δὲ τῷ Ἀμφίονι παῖδας ἔσχε δέκα δύο· ἐπαρθεῖσα δὲ τῷ πλήθει τῶν παίδων καὶ τῇ καλλονῇ, ὠνείδιζε τῇ Λητοῖ ὅτι δύο μόνους ἐγέννησεν, Ἀπόλλωνα καὶ Ἄρτεμιν, καὶ ὅτι εὐτεκνωτέρα αὐτῆς ἐστίν. ἀγανακτήσασα δὲ ἡ θεὸς ἔπεμψεν ἰοὺς τοῖς παισὶν αὐτῆς· καὶ Ἀπόλλων μὲν τοὺς ἄρρενας ἀναιρεῖ κυνηγετοῦντας ἐν τῷ Κιθαιρῶνι, Ἄρτεμις δὲ τὰς θηλείας ἐπ' οἴκου οὔσας. θρηνοῦσαν οὖν τὴν Νιόβην τὸ τοιοῦτο δυστύχημα Ζεὺς ἐλεήσας εἰς λίθον μετέβαλεν, ὡς καὶ μέχρι νῦν ἐν Σιπύλῳ τῆς Φρυγίας ὁρᾶται παρὰ πάντων πηγὰς δακρύων προϊεμένη. ἡ ἱστορία παρὰ Εὐφορίωνι

## 103

*Οὖπις ἀμαλλοφόρος*

(Mein. cix.) Schol. P Q T ε 121 τούτου (Orionis) γὰρ ἐρασθεῖσα ἡ Ἡμέρα ἥρπασεν ἀπὸ Ταναγρας εἰς Δῆλον, ἔνθα τὴν ἀμαλλοφόρον Οὖπιν ἰδὼν ἠθέλησε βιάσασθαι· ἐφ' ᾧ ὀργισθεῖσα ἡ θεὸς ἀναιρεῖ αὐτόν, ὡς Εὐφορίων δηλοῖ. Cf. Apollod. i. 4, 5

## 104

*Οὐδὲ νεογνοὶ*
*παῖδες ἐδιζήσαντο πελώριον Ὠρίωνα.*

Εὐφορίων· Οὐδὲ κτλ. Schol. Arat. 324. Deest apud Mein.

## 105

(Mein. cxlv.) Schol. Apoll. Rhod. i. 179 οὗτος (Τιτυὸς) δὲ ἐν Ἅιδου τετιμώρηται διὰ τὸ ἐν Πυθῶνι στελλομένην κατασχεῖν τὴν Λητώ . . . (ε 580) ὁ δὲ Εὐφορίων Ἀρτέμιδός φησιν αὐτὸν ἧφθαι καὶ διὰ τοῦτο τιμωρεῖσθαι: vid. Pherecyd. [fr. 5] ap. Schol. Pind. Pyth. iv. 90

## 106

Schol. A D B 212 Οἰνεῖ ἀμελήσαντι τῆς Ἀρτέμιδος θυσιῶν ἕνεκα ἡ θεὸς ὀργισθεῖσα ἔπεμψε τῇ πόλει σῦν ἄγριον, ἐφ' ὃν ἦλθε στρατεία τῶν ἀριστέων τῆς Ἑλλάδος, ἐπειδὴ ἐλυμαίνετο τὴν χώραν, ὥς φησιν αὐτὸς ὁ ποιητὴς ἐν τῇ I (533 sq.). μεθ' ὧν ἦν καὶ ὁ Θερσίτης, ὃς δειλωθεὶς κατέλειψε τὴν παραφυλακὴν ἐφ' ἧς ἦν, καὶ ἀπῆλθεν ἐπί τινα τόπον ὑψηλὸν τὴν σωτηρίαν θηρώμενος. ὀνειδιζόμενος δὲ ὑπὸ Μελεάγρου ἐδιώκετο, καὶ κατὰ κρημνοῦ πεσὼν τοιοῦτος ἐγένετο, οἷον ὁ Ὅμηρος αὐτὸν παρίστησιν. ἱστορεῖ Εὐφορίων. Cf. Schol. T

## 107

*Ἀλλ' οὔπω Θήβῃ πεπρωμένα κεῖτο τάλαντα,*
*τήν ῥά ποτε Κρονίδης δῶρον πόρε Περσεφονείῃ,*
*ὃν γαμέτην ὅτε πρῶτον ὀπωπήσεσθαι ἔμελλε*
*νυμφιδίου σπείροιο παρακλίνασα καλύπτρην.*

(Mein. xlviii.) Εὐφορίων. Scholl. Eur. Phoen. 682 1 θέμεθλα Geel 3 ἣ γαμετῇ M : ἐγγαμετῇ T : ἐγγαμετὴν B : corr. Mein. ὀπωπήσασθαι codd. : corr. Cob. Thebas Proserpinae tanquam ἀνακαλυπτήρια datas esse non ab alio narratum est

## 108

*Κεβληγόνου Ἀτρυτώνης*

(Mein. clix.) Εὐφορίων. Schol. Nic. Alexiph. 433, *sc.* Minervae

## 109

(Mein. clxiv.) Comm. Lucan. Phars. iii. 402 (Usener) de Panis parentibus: 'Euphorion Ulixis filium manifestat'. Cf. Scholl. ad Theocr. i. 123 τὸν δὲ Πᾶνα οἱ μὲν Πηνελόπης καὶ Ὀδυσσέως ἢ Ἑρμοῦ (ἢ Ἑρμοῦ om. K); et Schol. Eur. Rhes. 36 τὸν Πᾶνα οἱ μὲν Πηνελόπης φασὶ ⟨υἱὸν καὶ πάντων τῶν μνηστήρων, ὅθεν καὶ Πᾶνα λέγεσθαι⟩, ἄλλοι δὲ Ἀπόλλωνος καὶ Πηνελόπης, ⟨οἱ δὲ Ὀδυσσέως καὶ Πηνελόπης⟩, ὡς καὶ Εὐφορίων, ⟨ὁ δεῖνα δὲ Ἑρμοῦ καὶ Πηνελόπης⟩ ὃν ἔθρεψαν νύμφαι· διὸ καὶ νυμφαγενῆ αὐτόν φησι τραφέντα παρ' ἐκείναις κτλ. Ita supplevit Schwartz, praeeunte Münzelio. Cf. Schol. Theocr. i. 3, Serv. Verg. G. i. 16

110

*Καί οἱ γείνατο κοῦρον, ὃς οὐκ ἴδεν ἠλέκτωρα.*

(Mein. lxxiv.) ὁ Χαλκιδεὺς Εὐφορίων. Clem. Alex. *Strom.* iv. 5. 24. *sc.* Demeter τὸν Πλοῦτον (cf. Hes. Theog. 969 sqq.) peperit: ἠλέκτορα εἶδεν corr. ap. Wilam. in *Herm.* 57, 263, e Choerob. in Theod. p. 301, et Dionysiacis Lond. in *Archiv. f. Pap.-Kunde* vii. 13

111

*Στεψαμένη θαλεροῖσι συνήντετο δικτάμνοισι.*

(Mein. lxxix.) Εὐφορίων. Schol. Arat. 33

112

*Ὅσσους εὐρυκόωσα Τυφάονι κύσατο Κητώ.*

(Mein. lxxxvii.) Εὐφορίων. *Etym. Mag.* 396. 30. Cf. Hes. Theog. 306–332 ubi non Ceto sed Echidna Typhoni nubit: τῇ δὲ in v. 306 quod ad Ἔχιδνα referri debebat, Euphorio ad Ceto rettulit. (Scheidw.) κύσσατο *Etym.*: corr. Kühner, al.

113

*Ἀελλόποδός θ' ἁρπυίας*

(Mein. clxiii.) Schol. T Ω 77 Εὐφορίων ἀελλόποδος αἰθαρύταο: corr. Oder

114

*Βουκολέων Τρηχινίδα Τυμφρηστοῖο αἰπῆς*

(Mein. lxxxiv.) Schol. Lycophr. 420 Τυφρηστὸς καὶ πόλις καὶ ὄρος· λέγεται δὲ τὸ ὄρος ἀρσενικῶς, ἡ δὲ πόλις θηλυκῶς, ὡς Εὐφορίων sqq. vbb. Cf. Parthen. fr. 35 Τυφρήστιον αἶπος· Τρηχινῖδα (-δι, -δος) Τυμφρηστοῖο αἰπῆς codd.: Τρηχῖν' (Thuc. iv. 78) ἰδὲ Τυμφρηστοῦ ⟨κλέτας⟩ sive ⟨πέδον⟩ αἰπῆς Scheidw.: Τρηχῖνα καὶ αἰπῆς Τυμφρηστοῖο Sitzler: de Diana et Endymione interpretatur Mein., coll. Nicand. fr. 7, p. 25 Schneid.

115

(Mein. clv.) Serv. Aen. vi. 618 Hi (Phlegyae) namque secundum Euphorionem populi insulani fuerunt, satis in deos impii et sacrilegi; unde iratus Neptunus percussit tridenti eam partem insulae quam Phlegyae tenebant, et omnes obruit

116

(Mein. cxlviii.) Schol. Apoll. Rhod. ii. 358 τὸν δὲ Πέλοπα Παφλαγόνα τὸ γένος εἶπεν (Ἀπολλώνιος), ἄλλοι δὲ Λυδὸν αὐτὸν ἱστοροῦσιν· ὁ δὲ Εὐφορίων ἀμφοτέραις ταῖς δόξαις συντίθεται. Cf. Schol. Pind. Ol. i. 37

117

(Mein. cxxiii.) Clem. Al. *Protr.* ii. 39. 8 πρόβατον, ὥς φησιν Εὐφορίων, σέβουσι Σάμιοι. Cf. Aelian, H. A. xii. 40

118

*Μοῦσαι ἐποιήσαντο καὶ ἀπροτίμαστος Ὅμηρος*

(Mein. lxii.) Schol. (B) T T 263 ἀπροτίμαστος: ἀνέπαφος, μάσασθαι γὰρ τὸ ἐφάψασθαι· καὶ Εὐφορίων· Μοῦσαι κτλ.

119

*Ὕδατα δινήεντος ἀμευσάμενος Ἀθύραο*

(Mein. lxx.) Steph. Byz. s.v. Ἀθύρας. De metro cf. fr. 9. 9, 11. 2

120

*Δεξιτερὴν ὑπερέσχε καὶ ὀχθηρῆς Γερανείης.*

(Mein. xcii.) Εὐφορίων. *Etym. Mag.*, p. 228. 21. Suppleri posse δράξατο vel sim. censet Scheidw. Fortasse ad fr. 11 (Γέρανος) referendum (Skutsch.)

121

*Ἥτις ἔχεις κληῖδας ἐπιζεφύροιο Δυμαίης*

(Mein. lxviii.) Steph. Byz. s. v. Δύμη. Fort. ἐπιζεφύρου Δυμαίης, Mein. coll. *A. P.* vii. 445. 2 Δυμαῖοι. Implorari Minervam κληδοῦχον cuius tutelae urbs commissa esset censet Scheidw.; cf. Paus. vii. 17. 9 Δυμαίοις δὲ ἔστι μὲν Ἀθηνᾶς ναὸς καὶ ἄγαλμα ἐς τὸ μάλιστα ἀρχαῖον (Mein.)

122

*Ὠκεανός, τῷ πᾶσα περίρρυτος ἐνδέδεται χθών*

(Mein. clviii.) Anon. I. Isagog. ad Arat. Maass, Comment. in Aratum, p. 95. 10 οἱ δὲ ποιηταὶ Ὠκεανὸν αὐτὸν (*sc.* τὸν ὁρίζοντα) καλοῦσιν· ὁ γοῦν Εὐφορίων φησίν· Ὠκεανός κτλ. ὁ Παριανός Hiller, Maass, coll. Achillis Isagog. excerpt. 22, p. 51. 27 sq. Maass ὅθεν καὶ Νεοπτόλεμος ὁ Παριανὸς ἐν τῇ Τριχθονίᾳ φησὶν τῷ πᾶσα . . . χθών. Schol. A Σ 490 . . . φησὶ γὰρ Ὠκεανὸς ᾧ κτλ. ubi ⟨ὁ Παριανὸς⟩ ins. Mein., Maass. Probus ad Verg. Georg. i. 244 'Oceani, quem recte ζωστῆρα τοῦ κόσμου dixerunt, et Cyrillus, cum ait Ὠκεανὸς ᾧ κτλ.,' ubi θ' ᾧ Bergk. Quis fuerit Cyrillus latet. Euphorioni versum abiudicant Hiller, Eratosthenis rell., p. 78, et Maass, Aratea., p. 205; sed recte iudicat Scheidw. imitationem Catullianam 64. 30 'Oceanusque mari totum qui amplectitur orbem' favere Euphorioni. Et quidni Mopsopiae fr. 34?: cf. Neoptolemi Pariani fr. 2

123

*Πάντῃ δὲ σέθεν κλέος ἀστέμβακτον*

(Mein. cvi.) *Etym. Gen.* s. v. ἀστέμβακτον· . . . ἀκίνητον ἢ βέβαιον ἢ τετιμημένον· Εὐφορίων Πάντῃ κτλ., εἴρηται κατὰ ἀπόφασιν τοῦ στεμβάξαι, ὅ ἐστιν ὑβρίσαι. Οὕτως ἐν ὑπομνήματι ἀνεπιγράφῳ εἰς τὸν Κεχηνότα Διόνυσον Εὐφορίωνος (vid. fr. 19). δὲ σέθεν A: δέ σε B, unde σέο Miller. Similia habet Eust. Il. 235. 8; et λέγει δὲ καὶ Εὐφορίων Κλέος ἀστέμβακτον

124

*Ἀτάρμυκτον πρέπεν ὄμμα.*

(Mein. ciii.) *Etym. M.*, p. 162. 7 Εὐφορίων ἀτάρβητον τρέπεν V: τρέπον cet.: πρέπεν Mein. e cod. ap. Schneid. ad Nicand. Al. p. 130

125

*Ἀτρέα δῆμον Ἀθηνῶν*

(Mein. xcv.) Hermogenes Περὶ ἰδεῶν β', p. 341 Rabe καὶ ὁ Εὐφορίων ἀτρέα δῆμον Ἀθηνῶν, ἀντὶ τοῦ ἄτρεστον καὶ ἄφοβον. Ὅλως τε πολὺς ὁ κίνδυνος

ἐν ταῖς τοιαύταις δριμύτησιν ἐμπεσεῖν εἰς ψυχρότητα. Et Tzetzae Scholia in Hermog. (Cramer, *An. Oxon.* iv, p. 130. 17):

Εἴτε τὸν Εὐφορίωνα μιμούμενος ἢ ἄλλον
τὴν Ἱπποδάμειαν αὐτὴν ὁμοίως καὶ Ἀτρέα
οὐ θήσεις ὡς ὀνόματα, ὡς δὲ δριμείας λέξεις,
ἀτρέα δῆμον ἄτρεστον ὡς Εὐφορίων λέγων
καὶ χεῖρ' ἱπποδάμεια⟨ν⟩ τὴν ἡνιόχων χεῖρα.

Cum Hermogenis cod. 596 Colleg. Gonv. et Cai. Ἀθηναίων habeat, Ἀθηνέων scripsit Blomfield ad Aesch. P. V. 424; sed recentior cod. est, saecc. xv, xvi

126

E Tzetzae Schol., supra,

χεῖρ' ἱπποδαμείαν

add. Meineke, clxv

127

*Πολύτροφα δάκρυα Βύνης*

(Mein. xci.) *Etym. Mag.* 564. 45 Εὐφορίων δὲ Βύνην τὴν θάλασσαν λέγει, οἷον πολύτροφα κτλ., τοὺς ἅλας βουλόμενος λέγειν. Cf. ib. 217. 4 Βύνη· ἡ Λευκοθέα ἢ Ἰνώ, οἷον βύνης καταλέκτριαι αὐδηέσσης

128

*Ἄστυ κατ' εὐβύριον*

(Mein. xciii.) *Etym. Mag.*, p. 389. 25 Εὐβύριον τὸ εὔοικον, ὥς φησιν Εὐφορίων· Ἄστυ κτλ. Εἴρηται δὲ παρὰ τὴν βαυρίαν, ἢ κατὰ Μεσσαπίους σημαίνει τὴν οἰκίαν. Cf. Hes. βύριον· οἴκημα, et βυριόθεν· οἴκοθεν

129

*Οὐδέ τοι εὔωροι θυέων*

(Mein. cii.) Εὐφορίων. *Etym. Mag.*, p. 401. 40 quod 'neglegentes' interpretatur

130

*Τῆς οὐδ' αἴθυιαι οὐδὲ κρυεροὶ καύηκες*

(Mein. lxxxviii.) Εὐφορίων. *Etym. Mag.*, p. 493. 49

131

*Ἠὲ πόθεν ποταμῶν κελέβῃ ἀποήφυσας ὕδωρ;*

(Mein. lxxii.) Εὐφορίων. Athen. xi. 475 F ποθεν A: corr. Mein.

132

*⟨Κυνηλατέοντος⟩*
*αὐτῷ σὺν τελαμῶνι νεοσμήκτῳ τε μαχαίρῃ*

(Mein. lxiii.) Schol. Nic. Ther. 20 κυνηλατέοντος δὲ ἀντὶ τοῦ κυνηγετοῦντος, ὡς Εὐφορίων· αὐτῷ κτλ. κυνηλατέοντος add. Schneider, Elter. νεοσμήκτῳ Schneid.: νεοσμίκτῳ P, νεοσμίκτῳ aut νεοτμ- K: νεοτμήτῳ A

133

*Πτῶκες ἀειχλώροισιν ἰαύεσκον μολοθούροις.*

(Mein. lxiv.) Εὐφορίων. Schol. Nic. Al. 147 (H. Bianchi, *Studi Ital. Filol. Class.* xii. 321) ἀεὶ χλωροῖσιν R P : corr. Mein.

134

*Ἠπεδαναὶ πέμφιγες ἐπιτρύζουσι θανόντα.*

(Mein. lxxvi.) Εὐφορίων. Galeni comm. ad vi. Epid. Hipp. Kühn xvii. 1, p. 881. εἶπε δ' ἄνθη vulg. : em. Bentl. : ἠπεδανὸν Herm. ἐπικλύζουσι Bentl. εἶτ' ἄνθη π. ἐπικλύζουσι θαλόντα Schneidewin. πέμφιγας esse animas hominum defunctorum intellegit Schultze, coll. Lycophr. 1106: fortasse θανόντων Elter

135

*Ζεφύρου μέγα ποιφύξαντος*

(Mein. xcvi.) Εὐφορίων. Schol. Nic. Ther. 180

136

*Ἐν δὲ πόποις θέσσαντο.*

(Mein. xcix.) Apollon. Soph. *lex. Hom.*, p. 133. 20 πόποι ἐπιφώνημα σχετλιαστικόν· τινὲς δὲ ἔδοξαν σημαίνειν Ὦ θεοί· ὁ γοῦν Εὐφορίων φησὶν Ἐν δὲ κτλ. τινὲς δὲ τούτῳ βοηθοῦντές φασι συναλοιφὴν εἶναι ἐν δ' ἐπόποις ἀντὶ τοῦ ἐπόπταις. Cf. Hesych. s.v. πόποι. Ἀπίων δέ φησιν· οἱ δαίμονες πόποι: Plut. de Aud. Poet. 22 D Δρύοπες δὲ "πόπους" τοὺς δαίμονας ἔσσαντο cod. : corr. Mein. coll. Hesych. θέσσαντο· ἐξήτησαν, ἱκέτευσαν: Pind. Nem. v. 10 θέσσαντο (εὔξαντο Schol.)

137

*Ἀλεξίκακον φύε ῥάμνον.*

(Mein. xcvii.) Schol. Nic. Ther. 861 οὐ μόνον ἀπαλέξειν ἐστὶν ἀγαθὴ ἡ ῥάμνος εἰς φάρμακα, ἀλλὰ καὶ εἰς φαντάσματα, ὅθεν καὶ πρὸ τῶν θυρῶν ἐν τοῖς ἐναγίσμασι κρεμῶσιν αὐτήν. Μέμνηται δὲ τῆς βοτάνης καὶ Εὐφορίων

138

*Οἷόν θ' εἰαμενῆς ὑποκυδέος*

(Mein. ci.) Harpocr. s.v. ὑποκυδής = δίυγρος. Εὐφορίων

139

*Λιγνύν τε ψολόεσσαν αἰδνήεντά τε καπνόν.*

(Mein. lx b.) Εὐφορίων. Schol. Nic. Ther. 288. ψολόεσσα, cf. fr. 51. 11 sup. ; ἀΐδνῃ . . . λιγνύς Apoll. Rhod. i. 389

140 Epigrammata

*Πρώτας ὁππότ' ἔπεξε καλὰς Εὔδοξος ἐθείρας,*
*Φοίβῳ παιδείην ὤπασεν ἀγλαΐην.*
*Ἀντὶ δέ οἱ πλοκαμῖδος, Ἑκηβόλε, καλὸς ἐπείη*
*ὠχαρνῆθεν ἀεὶ κισσὸς ἀεξομένῳ.*

(Mein., p. 164.) *A. P.* vi. 279 Εὐφορίωνος 1 ap. Suid. s.v. ἔθειραι

ἔπεξε Suid.: ἔπλεξε P 3 s. v. πλοκαμίς Suid. δέ οἱ Toup.: δέτοι P: δέ σοι Suid. κάλλος P, Suid., sed καλὸς Suid. cod. Voss.: et Anthol. app. Buh. 4 χῶ- Mein. ἀεξομένῳ Toup, Hecker: δεξομένος (sic) P ante ras.: ἀεξόμενος P corr. ‘Poeta optat ut, Eudoxo crines primum detonsos Apollini dedicante, pro iis succrescat hedera Acharnensis, “doctarum praemia frontium”,’ Duebn.

141

*Οὐχ ὁ τρηχὺς Ἐλαιὸς ἐπ' ὀστέα κεῖνα καλύπτει*
*οὐδ' ἡ Κυανέη γράμμα λαχοῦσα Πέτρη·*
*ἀλλὰ τὰ μὲν Δολίχης τε καὶ αἰπείνης Δρακάνοιο*
*Ἰκάριον ῥήσσει κῦμα περὶ κροκάλαις·*
*ἀντὶ δ' ἐγὼ ξενίης πολυκηδέος ἡ κεινὴ χθὼν*
*ὠγκώθην Δρυόπων διψάσιν ἐν βοτάναις.*

(Mein., p. 162.) *A. P.* vii. 651 Εὐφορίωνος 1 ὁ τρηχὺς Ἐλαιὸς Kaibel coll. Polyb. iv. 65. 6 τῆς Καλυδωνίας πρός τι χωρίον ὀχυρὸν ὃ καλεῖται μὲν Ἐλαιός, et Rhiano, ap. Paus. iv. 1 πάρ τε τρηχὺν Ἐλαιὸν ὑπὲρ δρυμόν τε Λύκοιο. At enim de Dryopia, non de Calydone, agitur; sed credibile est multos fuisse colles olivis agrestibus consitos ὁ τρηχὺς ἔλαιος Mein., velut τρηχὺν . . . ἀγριέλαιον, [Theocr.] xxv. 256, de oleastro cenotaphium umbrante. Sed ὁ nomen loci cuiusdam indicat: Τρηχίς σε λίθειος Graefe, coll. *A. P.* vi. 3. 1 Τρηχῖνα πολύλλιθον, Strab. ix. 428 lapidosa Trachin, et Steph. Byz. s. v. Δρυόπη· ἔστι καὶ Δρυοπία τῶν Δρυόπων περὶ Τραχῖνα. τρηχὺς σελι θαῖος post corr. P κεῖνα non mutandum, virum ἀνώνυμον esse significat 2 Κυανέη Mähly: Κυάνεον P λαβοῦσα P: corr. Hecker, coll. *A. P.* vii. 395. 6 στήλη γράμμα λέλογχε, vii. 429. 2 γράμμα λέλογχε πέτρος, ‘alii, usu fere constanti’, Duebn. 3 Δολίχης (*sc.* Icari insulae, cuius promunturium Drachanum) Mein.: δολιχῆστε P 5 πολυκηδέος Salmas.; Mein. confert ξεινοσύνης προσκηδέος φ 35, et ‘pro benevolo hospitio’ vertit. κενεὴ Reiske, ‘sed reddit Euphorio numeros clausulae Homericae εὐρεῖα χθών’ Stadtm.: πολυμήδεος (μ ex ν? corr.) P: ‘pro hospitio meo cum Polymede’ Mackail

142

(Mein. p. 64.) *Etym. Mag.*, p. 50. 44 ἀκόνιτον . . . Εὐφορίων δὲ θηλυκῶς λέγει τὴν βοτανήν, vid. fr. 37

143

Photii Lex. init. Reitzenst., p. 77. 7 (post Mein. repertum) ἀλκυών· ἐπὶ δὲ τοῦ ἀλκυὼν ὁ μὲν ποιητὴς (I. 563) συστέλλει τὸ ῡ, ὁ δὲ Εὐφορίων ἐκτείνει

144

(Mein. cxii.) Hesych. ἄλλιξ· χιτὼν χειριδωτός· παρὰ Εὐφορίωνι. ἀλλίξ Hes.: corr. Musurus; cf. *Etym. Mag.*, p. 68. 33

145

*Ἀμπέλινος*

(Mein. cxlvi.) Schol. Ap. Rhod. i. 1117 καὶ Εὐφορίων δὲ ἐκ τούτου (cf. Ap. Rhod. i. 1117–1125) κινηθεὶς τὸ ξόανον τῆς μητρὸς τῶν θεῶν φησιν ἀμπέλινον εἶναι . . .

146

Photii Lex. init., p. 96. 23 Reitzenst. (post Mein. repertum) ἀμύξ, ἀντὶ τοῦ μόλις· Εὐφορίων

147

(Mein. cxiii.) Hesych. ἄνταρ· ἀετὸς ὑπὸ Τυρρηνῶν· Εὐφορίων δὲ δίασμα.

148

(Mein. cxxxvi.) *Etym. Mag.*, p. 194. 23 βέθρον· βέρεθρον καὶ συγκοπῇ βέθρον· Κράτης καὶ Εὐφορίων οὕτως

149

*Βότρυα*

(Mein. clxi.) Choerob. in Theod. can., p. 234. 1 Hilg., ib., p. 234. 19 βότρυα, σεσημείωται παρ' Εὐφορίωνι ἅπαξ εὑρεθὲν τὸ βότρυα (*sc.* accus.)

150

*Γλαυκῶπις*

(Mein. cxl b.) Schol. Vat. in Dionys. Thrac. artem 12, p. 233. 22 Hilg. Εὐφορίων ὁ ποιητὴς . . . εἶπεν . . . τὴν ἐλαίαν γλαυκῶπιν

151

*Ἐλλιπέες*

(Mein. clxix.) Choerob. Orthogr., Cram. *An. Ox.* ii, p. 239. 6 Ἐλλιπέες παρ' Εὐφορίωνι

152

*Ἐνοσίχθων*

(Mein. cxl a.) Schol. Vat. in Dionys. Thrac. artem 12, p. 233. 22 Hilg. Ἰδοῦ γὰρ Εὐφορίων ὁ ποιητὴς περὶ τοῦ ἀρότρου εἶπεν ἐνοσίχθονι. ἀρότρῳ add. Schol. Londinensia. ἐρυσίχθονι W. Schulze; sed Nonni imitationem ii. 67 ἐνοσίχθονι τάμνε σιδήρῳ (αὔλακα) (Scheidw.)

153 a, b

*Ἧλ, ἧλι*

(Mein. cv.) Strab. viii. 364 Εὐφορίων δὲ καὶ τὸν ἧλον λέγει ἧλ. Cf. Epit. Strab. Geogr. Gr. M. ii. 584 Εὐφορίων δὲ καὶ τὸν ἥλιον λέγει ἧλι (ἥλι Pal.: corr. Müller). Strabonem exscribit Eustath. 566. 34 addit δαιμόνιος ἧλ, nomine auctoris non addito. δαιμόνιος ἧλ Euphorioni adscribit Mein., negat Kramer; cf. Apollon. Dysc. de Pron., p. 372 ἀπὸ τοῦ ἧλος ἧλ

154

*Κηπουρός*

(Mein. cxi b.) Vid. s.v. ναυαγός, inf. fr. 158

155

(Mein. cxxxiii.) Schol. A I 206 κρεῖον. Εὐφορίων κρεῖον τὸ κρέας ἐξεδέξατο, Ὅμηρος δὲ τὸ κρεηδόχον ἀγγεῖον, cf. *Etym. Mag.* 536. 54, Eustath., p. 747. 15 sed fortasse frag. non poeticum est, quod *Etym.* habet Εὐφορίων λέγει, et Eust. Εὐ. νοεῖ

## 156

(Mein. cxxxvii.) *Etym. Mag.* 472. 43, Herod. ii. 526. 8 L μνιός· ὁ ἁπαλὸς παρὰ Εὐφορίωνι

## 157

### Μῶνται

(Mein. cix b.) Hellad. ap. Phot. c. 279, p. 531 a Bekk. παρ' Εὐφορίωνι

## 158

### Ναυαγός

(Mein. cxi a.) Helladius ap. Phot. bibl. c. 279, p. 532 b 18 sq. B ὅτι παρὰ Εὐφορίωνι τῷ φύσει μὲν Χαλκιδεῖ, θέσει δὲ Ἀθηναίῳ κακοζήλους ἔστιν εὑρεῖν λέξεις· καὶ γὰρ τὸν Ἰάσονα ναυαγὸν εἶπεν, ὅπερ οὐ νεναυαγηκότα μᾶλλον, τὸν δὲ ναῦν ἄγοντα δηλοῖ, καὶ τὸν τὰ χρυσᾶ μῆλα τῶν Ἑσπερίδων φρουροῦντα ὄφιν κηπουρὸν ὠνόμασε

## 159

### Πεφορινῶσθαι

(Mein. cxliii.) Harpocr. 153. 6 πεφοριῶσθαι. Λυσίας ἐν τῇ πρὸς Πολυκράτην κατ' Ἐμπέδου ἐπιστολῇ, εἰ γνήσιος, φησὶν "ἢ τὸν ὀφθαλμὸν τὸν ἕτερον γλαυκότερον εἶναι ἢ πεφοριῶσθαι" ἐπὶ τοῦ ἀποκεκλειμένου, ὥσπερ Εὐφορίων κέχρηται τῷ ὀνόματι . . . ἐὰν δὲ γράφηται πεφορινῶσθαι, εἴη ἂν πεπαχύνθαι, ἀπὸ τῆς φορίνης. περιφωριάσθαι C : περιφοριῶσθαι G : corr. Dind., cf. Phot. s.v. πεφοριῶσθαι, Suid. s.v. περιφοριῶσθαι, *Etym. Mag.* s.v. πεφωριῶσθαι. Πεφορινῶσθαι unice veram esse scripturam docuit Mein.; neque altera forma potuit Euphorion uti, saltem in poesi. At vocabulum inter Euphorionis fragmenta poetica numerandum

## 160

### Φλεγεθοίατο

(Mein. clxii.) Schol. T Ψ 197 Εὐφορίων κακῶς τῷ ῥήματι ἑνικῶς χρῆται. Cf. ῥηγνύατο Arat. Dios. 817, et Maass. ad loc., παρείατο Callim. fr. 521, et Schneid.

## 161

### Χαμαιεῦναι

(Mein. cxxviii.) Schol. π 235, in Cram. *Anecd. Par.* iii. 21 οἱ ἐπὶ τοῦ ἐδάφους κοιμώμενοι λέγονται παρ' Εὐφορίωνι

## 162

### Αἰγιδόκος

(Mein. cxxx.) Schol. A D B 157 Ζεὺς Κρόνου καὶ Ῥέας γενόμενος ἐν Κρήτῃ ἐπεκλήθη αἰγίοχος διὰ τὸ αὐτόθι ὑπὸ αἰγὸς τραφῆναι, ἤ, ὥς τινές φασι, διὰ τὸ αἶγα ἀνελόντα τὴν μὲν δορὰν ἀμφιέσασθαι, τοῖς δὲ κέρασιν εἰς τόξον χρήσασθαι· ὅθεν καὶ Αἰγιδόκον τόπον τινα ἐν Κρήτῃ καλεῖσθαι ἱστορεῖ Εὐφορίων

## 163

(Mein. cxvi.) Steph. Byz. s.v. Αἶγυς· Αἶγυς, πόλις Λακωνικῆς, ὡς Εὐφορίων.

164

(Mein. cxv.) Steph. Byz. s.v. Ἄλπωνος. Ἄλπωνος· πόλις καὶ ὄρος ἐν Μακεδονίᾳ, ὡς Εὐφορίων. De Almopia Macedonica agi suspicatur Günther

165

(Mein. cxli.) Choerobosc. Schol. in Theodos. can., p. 142. 15 Hilg. Ἀφίας, Ἀφίαντος παρ' Εὐφορίωνι. Ἀπφίας Osann.: Ἀφείδας vel Ἀφίδας Mein. coll. Schol. A Δ 66, *Etym. Mag.*, p. 779. 25

166

(Mein. clx.) Schol. Dion. Perieg. 64 de columnis Herculis: πρότερον Κρόνου ἐλέγοντο Στῆλαι . . . δεύτερον δὲ ἐλέχθησαν Βριάρεω, ὥς φησιν Εὐφορίων, τρίτον δὲ Ἡρακλέους. Mein., cf. Ael. V. H. v. 3, Schol. Pind. Nem. iii. 38 καθό φησι Στῆλαί τ' Αἰγαίωνος ἁλὸς μεδέοντι γίγαντος, Parthen., fr. 31

167

(Mein. cxiv.) Steph. Byz. s.v. Δαφνοῦς. Δαφνοῦς· Φωκικὴ πόλις, ἀρσενικῶς λεγομένη, καὶ θηλυκῶς Δαφνουσίς· Δάφνουσαν δὲ αὐτήν φησιν Εὐφορίων. Δαφνοῦσαν codd.: corr. Mein.

168

(Mein. clxvii.) Steph. Byz. s.v. Μωριεῖς. Μωριεῖς· ἔθνος Ἰνδικόν, ἐν ξυλίνοις οἰκοῦντες οἴκοις, ὡς Εὐφορίων. Ἀλεξάνδρῳ (vid. fr. 1) tribuere vult Scheidw., p. 16 Cf. Hesych. Μωριεῖς· οἱ τῶν Ἰνδῶν βασιλεῖς

169

(Mein. cxvii.) Steph. Byz. s.v. Νάξος. Εὐφορίων δὲ παρὰ τὸ νάξαι, ὅ φασι βῦσαί τινες. θῦσαι codd. et Eustath. ad Dion. Perieg., p. 206. 10 corr. Salmas., coll. Hesych. νάξαι· σάξαι, βῦσαι

170

(Mein. cxix.) Steph. Byz. s.v. Νέδη. Νέδη· πόλις Ἀρκαδίας ἀπὸ νύμφης Νέδης· Εὐφορίων δὲ Νεδέην αὐτήν φησι

171

(Mein. cxlii.) Eustath. ad Od. 1784. 61 ἐς τοσοῦτον ἠξιώθη λόγου τοῖς παλαιοῖς ὁ εὐνοϊκὸς οὗτος δοῦλος Εὔμαιος, ὥστε καὶ μητέρα αὐτοῦ ἐξευρίσκουσι, Δημόκριτος (fr. 24 Diels) μὲν Πενίαν, Εὐφορίων δὲ Πάνθειαν, Φιλόξενος δὲ ὁ Σιδώνιος Δανάην

172

(Mein. cxxxix.) Schol. Dionys. Perieg. 420 καὶ ταύτην τὴν Κορινθίαν (*sc.* θάλασσαν) Σαρωνίδα καλοῦσιν, ὡς μὲν Εὐφορίων φησιν, ἐπειδὴ Σάρων τις κυνηγὸς ἐπιδιώκων ⟨σῦν⟩ ἐκεῖθεν κατεκρημνίσθη εἰς θάλασσαν: σῦν add. Mein. Cf. Schol. Eur. Hippol. 1200 ubi de cervo narratur, *Etym. M.* 708. 52. Vid. fr. 34 n.

173

(Mein. cxviii.) Steph. Byz. s.v. Τρικόρυνθον· . . . Εὐφορίων θηλυκῶς. Fabulam a Strab. viii. 6. 19 narratam censet Scheidw. fortasse materiam praebuisse Euphorioni. Vid. fr. 34 n.

## 174

(Mein xlv.) Tertull. de An. 46, p. 376 Reiff. et Wiss. Seleuco regnum Asiae Laodice mater nondum eum enixa providit; Euphorion provulgavit. Cf. Iustin. *Hist.* xv. 4; Appian. *Syr.* 56.

## 175 Dubia

*Καλαὶ μέν ποτ' ἔσαν, καλαί, φόβαι Εὐτελίδαο·*
*ἀλλ' αὐτὸν βάσκαινεν ἰδὼν ὀλοφώιος ἀνὴρ*
*δινῆντ' ἐν ποταμῷ· τὸν δ' αὐτίκα νοῦσος ἀεικής . . .*

(Mein. p. 165.) Plut. *Qu. Symp.*, p. 682 B Τί δ', ὦ πρὸς τοῦ Διός, ἐρεῖς περὶ τῶν ἑαυτοὺς καταβασκαίνειν λεγομένων; (inde sequuntur καλαὶ κτλ.) ὁ γὰρ Εὐτελίδας λέγεται καλὸς ἑαυτῷ φανείς, καὶ παθών τι πρὸς τὴν ὄψιν ἐκ τούτου νοσῆσαι καὶ τὴν εὐεξίαν μετὰ τῆς ὥρας ἀποβαλεῖν. 2 αὐτὸν Plut.: corr. Xylander 3 δινῆντ' ἐν ποταμῷ scripsi: δίνῃ ἐν ποταμῷ trad.: δινῆντι et δίνῃ ἐνὶ ποταμοῦ Mein.: δίνῃ ἐν ποταμοῦ Wyttenb. Fort. sequitur ἔλλαβε Mein.; Euphorioni trib. Valckenaer; et cum Eutelidae fortuna similis esset Narcissi (Ov. Met. iii. 346), Scheidw. censet versus Hyacintho (fr. 40 sqq.) posse adscribi

## 176

*Τῷ μιν καὶ Περσῆα μετεκλήϊσσαν Ἀχαιοὶ*
*οὕνεκεν ἄστεα πέρσεν ἀπειρεσίων ἀνθρώπων.*

*Etym. Mag.*, p. 665. 45. Euphorionis censet esse Mein. p. 100; cf. frr. 18, 86. τῷ μιν Hemst.: τὸν μὲν *Etym.*

## 177

Nonnulla 'quorum dictio eum habet colorem ut Euphorioni aut Callimacho assignari posse videantur' congessit Meineke, pp. 167, 168; inter quae ἐπ' οὔρεος ἀμβώνεσσιν Callimachi esse *Oxyrh. Pap.* vii, p. 27, l. 34 nunc demonstravit. Versus quos ex *Etymologico M.* protulit R. Reitzenstein, *Progr. Rost.* 1890–91, p. 9; vid. *Anthol Lyr.* Bergk-Hiller[4], p. lxviii:

σεῦ γὰρ διὰ ⟨δήμῳ⟩
εἰρήνη, Πολύβοια, καὶ ἀνδράσιν ἤπιος αἰὼν
πιλναμένης, καὶ θῆρες ἀνὰ δρυμὰ πρηΰνονται

Wilam. Euphorioni tribuit, *Berl. Klass. Texte*, v. i. 59, et Hyacintho, *Herm.* 57, 262, coll. Paris. iii. 19. 4: Callimacho Schneider, *Frag. Anon.* 74, *Callim.* vol. ii. An leg. ⟨δῖα θεάων⟩? Fragmenta quae tradita sunt cum titulis Ἱστορικὰ Ὑπομνήματα, Λέξις Ἱπποκράτους, Περὶ Ἀλευαδῶν, Περὶ Ἰσθμίων, Περὶ Μελοποιῶν, prosae orationis sunt: vid. Scheidw., pp. 47–51, et eius fragg. 148–152. (Mein. xlv, cxxi, cx, (xxiv), et cxxvii de vocabulo βαλλῆνα.) In Schol. Ap. Rhod. ii. 351 Τὴν δὲ Μαριανδυνῶν σὺν Γνησιόχῳ τῷ Μεγαρεῖ Βοιωτοὶ κατέσχον, ὡς Εὐφορίων ἱστορεῖ Marx ad Ephor., p. 6, coll. Schol. Ap. Rh. ii. 845, fort. recte coniecit Ἔφορος, Scheid. fr. 90). Nec noster Euphorio esse videtur is quem Varro, *R. R.* i. 1. 9 (cf. Columell. i. 1. 7) inter scriptores Rei Rusticae enumerat, cum patriam eius se ignorare dicat

# ERATOSTHENES

## Ἑρμῆς

Argumentum Mercurii ita restituit Hiller, *Eratosthenis Carm. Rell.*, p. 64: 'Simulacrum effinximus carminis de Mercurii pueritia. Narravit Eratosthenes fabulas de ortu dei, de Lactei Circuli origine, de puerilibus

Mercurii iocis, de furto boum, de inventa lyra; rettulit porro Mercurium in caelestes regiones ascendisse, ibique miratum esse sphaerarum motus consonantiam lyrae efficientes; miratum esse Lactei Circuli cui ipse originem dederit splendorem; cognovisse praeterea quo modo axis per omnes sphaeras pervadat, eique circumfusa terra ipsa firmam habeat posituram; dignovisse denique terrae zonas, earumque colores atque habitus.' Interpretem suum consecutum est poema, Athen. x. 501 E Τίμαρχος δ' ἐν τετάρτῳ περὶ τοῦ Ἐρατοσθένους Ἑρμοῦ quod hodie constat in Τιμαχίδας corrigendum: Susem. *Gr. Lit. Alex.* i. 188 sqq., Hiller, p. 74. De hoc grammatico scripsit C. Blinkenberg, *La Chronique du Temple lindien*, Bull. de l'Acad. royale des sciences et des lettres de Danemark, 1912, et eiusdem *Die lindische Tempelchronik*, Bonn, 1915, p. 4. Anno 99 a C. n. iam adultae aetatis erat

1

Schol. A B ad Ω 24 καὶ δή ποτε τῆς μητρὸς μετὰ τῶν ἀδελφῶν αὐτῆς λουομένης λαθὼν ὑφείλετο τὰς ἐσθῆτας· γυμναὶ δὲ ἐκεῖναι οὖσαι ἠπόρουν τί πράξωσι. Γελῶτα δὲ διὰ τοῦτο Ἑρμῆς ποιήσας ἀπέδωκεν αὐταῖς τὰς ἐσθῆτας. Ἔκλεψε δὲ καὶ τὰς Ἀπόλλωνος βοῦς. Ἡ ἱστορία παρ' Ἐρατοσθένει. Mercurius vestes matris Maiae et materterarum dum lavantur surripuit. Fort. huc pertinent frr. 4 et 7

2

Achill. Tat. in Arat. 146 E, Maass, *Comm. in Arat.*, p. 55 περὶ δὲ τούτου (de Lacteo Circulo) φησιν Ἐρατοσθένης ἐν τῷ Καταστερισμῷ μυθικώτερον τὸν Γαλαξίαν κύκλον γεγονέναι ἐκ τοῦ τῆς Ἥρας γάλακτος· τοῦ γὰρ Ἡρακλέους ἔτι βρέφους ὄντος [καὶ] τὸν μαστὸν τῆς Ἥρας ἐπισπασαμένου σφοδρότερον ἐκείνην ἀντισπάσαι, καὶ οὕτω περιχυθέντος τοῦ γάλακτος κύκλον γενέσθαι παγέντος. Τὸ δὲ αὐτὸ καὶ ἐπὶ τοῦ Ἑρμοῦ λέγει γεγενῆσθαι Ἐρατοσθένης, ὡς ἄρα ὁ Ἑρμῆς τοῦ μαστοῦ τῆς Ἥρας ἐπεσπάσατο. Cf. Hygin. de Ast. ii. 43 'Eratosthenes dicit Mercurio infanti puero insciam Iunonem dedisse lac; sed postquam eum rescierit Maiae filium esse, reiecisse eum a se, et ita lactis profusi splendorem inter sidera apparere'

3

Schol. B D ad E 422 (cf. *Etym. Mag.* 547) οὐδ' (*sc.* πειθόμεθα) ὡς Ἐρατοσθένης παρήκουσεν Ὁμήρου εἰπόντος Ἑρμείας ἀκάκητα (Π 185, ω 10) ἤγουν ἀπὸ Ἀκακησίου ὄρους, ἀλλ' ὁ μηδενὸς κακοῦ μεταδοτικός, ἐπεὶ καὶ δοτὴρ ἐάων. Cf. Schol. Paris. Π 185 (Cramer, *Anecd. Paris.* iii, pp. 21, 22). Harles et Hiller ad Mercurium referunt

4

*Φωριαμὸν δ' ὀνόμηνεν, ὅ μιν κύθε φώριον ἄγρην·*
*ἐκ τοῦ φωριαμὸς κικλήσκεται ἀνθρώποισι.*

Schol. Ap. Rhod. Arg. iii. 802 Ἐτυμολογεῖ δὲ τὴν φωριαμὸν Ἐρατοσθένης ἐν τῷ Ἑρμῇ. ὀνόμηνεν (*sc.* Hermes), Bernhardy: ὀνόμηναν Schol., vid. ad fr. 1

5

Steph. Byz. s. v. Ἀπία. λέγεται καὶ Ἀπὶς (Ἄπις codd.: corr. Mein.) θηλυκόν, ἧς ἡ γενικὴ Ἀπίδος (Ἄπιδος codd.: corr. Mein.), οὕτω τὴν χώραν (*sc.* Peloponnesum vel Argolida) Ἐρατοσθένης ἐν Ἑρμῇ προσαγορεύει

6

*Λάδωνος περὶ χεῦμα*

Theodos. περὶ κλίσεως τῶν εἰς -ων βαρυτόνων genetivi formam Eratostheni

tribuit: Hilgard, *Excerpta ex libris Herodiani*, p. 18. 2. Λάδονος cod.: corr. Dind. Lübbert et Hiller ad Mercurium verba referunt, quia quae in prima poematis parte Eratosthenes narravit in Arcadia aguntur

7

*Αἱ δὲ πέρην Ἀρύαντος ἐπὶ προχοαῖς ποταμοῖο*

Choerob. in Theod. i, p. 142 Hilg. παρ' Ἐρατοσθένει αἱ δὲ πέρην V: ἡ δὲ ὑπὲρ N C ποταμοῖο V: ποταμίων N C. Aryanta fluvium, aliunde non notum, eundem esse atque Aroanium, Arcadiae fluvium, qui in Ladonem (fr. 6) influit, censet Hiller. vid. ad fr. 1

8

*Βαθὺς διαφύεται αὐλών*

Athen. v. 189 D παρὰ Ἐρατοσθένει ἐν τῷ Ἑρμῇ, θηλυκῶς sqq. verb. ἀντὶ τοῦ βαθεῖα.

9

*Πέλμα ποτιρράπτεσκεν ἐλαφροῦ φαικασίοιο*

Poll. vii. 90 Ἐν τῷ Ἑρμῇ Ἐρατοσθένης. ῥάπτεσκεν ἐλαφροῦ ποτὶ πέλμα φαικασίοις Par. A: corr. Salmas. Hiller confert Hom. Hymn. Herm. 75 sqq. De solea Veneris ab aquila surrepta et Mercurio tradita (Hygin. de Astr. ii. 16) non recte intellegit Bernhardy

10

*Ἡ χερνῆτις ἔριθος ἐφ' ὑψηλοῦ πυλεῶνος*
*δενδαλίδας τεύχουσα καλοὺς ἤειδεν ἰούλους.*

Schol. Ap. Rhod. Arg. i. 972 ὁ Ἐρατοσθένης ὄνομα ᾠδῆς ἐρίθων ἀπέδωκεν ἐν τῷ Ἑρμῇ, λέγων οὕτως· ἣν χερνῆτις κτλ. οὐκ ἔστι δέ, φησὶ Δίδυμος, ἀλλ' ὕμνος εἰς Δήμητρα, ὡς ὁ οὔπιγγος παρὰ Τροιζηνίοις εἰς Ἄρτεμιν. Cf. Schol. Ap. Rhod. Arg. ii. 43. Easdem partes hic ancillam agere quas senex ille in Hom. Hymn. Merc. 87 sqq., 186 sqq. ageret censet Hiller. *Et. M.* 472. 36; Tzet. *in Lyc.* 23, Chil. xiii. 563 sqq. 1 ἧ Naeke: ἡ *Et. M.*, Tzet.: ἣν Schol. Ap. Rhod. ἔριθος Sch. Ap. Rhod., Tzet.: θεὸς *Et. M.* πυλεῶνος Tzet.: πετεῶνος Schol. Ap. Rhod.: ἐλεῶνος *Et. M.* 2 δενδαλίδας τεύχουσα καλοὺς Schol. Ap. Rhod.: δανδαῖτις στείχουσα καλὰς (καλὰς δ' D M) *Et. M.*, Tzet.

11

*Κρήνης Γαργαφίης*

*Etym. Mag.* 135. 32 Ἀργαφίης· οἷον Νιψάμεναι κρήνης ἔδραμον Ἀργαφίης (Fragm. Anon. 76 ap. Schneid. Callim.) . . . τὸ δὲ ἐντελὲς ἐν τῷ Ἑρμῇ· Κρήνης Γαργαφίης (τῇ ερμη' (sscr. να) Vb; vid. not. ad Philetam fr. 17) Eratostheni trib. Hemst., Philetae Unger; vid. Hill., p. 27

12

*Ἄγρης μοῖραν ἔλειπον, ἔτι ζώοντας ἰούλους*
*ἠὲ γενειῆτιν τρίγλην ἢ περκάδα κίχλην*
*ἢ δρομίην χρύσειον ἐπ' ὀφρύσιν ἱερὸν ἰχθύν.*

Ath. vii. 284 D Ἐρατοσθένης ἐν Ἑρμῇ 3 Plut. *de Soll. Anim.*, p. 981 D εὐδρομίην et ἐπ' ὀφρύσιν: ἐν ὀφρ. Ath., ubi ἐπ' corr. Mein. Quo spectent versus non liquet; Hiller de mirabilibus piscibus Aroanii fluvii cogitat, vid. ad fr. 7

13

Theo. Smyrn. de Astr., p. 142 Hill. Ἐρατοσθένης δὲ τὴν μὲν διὰ τῆς φορᾶς τῶν ἄστρων γινομένην ἁρμονίαν παραπλησίως ἐνδείκνυται· τὴν μέντοι τάξιν τῶν πλανωμένων οὐ τὴν αὐτήν, ἀλλὰ μετὰ σελήνην ὑπὲρ γῆς δεύτερόν φησι φέρεσθαι τὸν ἥλιον. Φησὶ γὰρ ὡς Ἑρμῆς ἔτι (sic Martin pro ἐστι) νέος, ἐργασάμενος τὴν λύραν, ἔπειτα πρώτως (sic Martin pro πρῶτος) εἰς τὸν οὐρανὸν ἀνιὼν καὶ παραμείβων τὰ πλανᾶσθοι λεγόμενα, θαυμάσειε (pro θαυμάσοιε Martin: θαυμάσας Hill., cf. *miratum* ap. Chalcid. infra) τὴν διὰ τὴν ῥύμην τῆς φορᾶς αὐτῶν γινομένην ἁρμονίαν τῇ ὑπ' αὐτοῦ κατεσκευασμένῃ λύρᾳ ⟨ὁμοίαν⟩ (add. Martin, lacunam ind. Hill.) ἐν δὲ τοῖς ἔπεσι φαίνεταὶ ὁ ἀνὴρ οὗτος τὴν μὲν γῆν ἐᾶν ἀκίνητον, ἐν ὀκτὼ δὲ φθόγγοις ποιεῖ ὑπὸ τὴν τῶν ἀπλανῶν σφαῖραν τὰς (sic Martin pro ταῖς) τῶν πλανωμένων ἑπτά, [καὶ] πάσας κινῶν περὶ τὴν γῆν καὶ τὴν λύραν ποιούμενος ὀκτάχορδον ἐν τῇ διὰ πασῶν συμφωνίᾳ, ὁ μουσικώτερος Ἀλεξάνδρου (sic Martin: μουσικώτατος Ἀλέξανδρος Apogr., οὐχ ὡς ὁ μουσικώτατος Ἀ., Bergk, verba seclusit Hiller). Chalcidius, *Comment. in Plat. Tim.* c. 73 Wrobel 'Quem (Alexandrum Milesium) secutus Eratosthenes motu quidem stellarum sonos musicos edi consentit, sed ordinem collocationis non eundem esse dicit. Statim quippe post Lunam secundam altitudinem a terra dat Soli, memorans fabulose Mercurium, commenta recens a se lyra, cum caelum ascenderet, primitus transeuntem per ea quae in motu planetum ad organicum modum personabant a se inventae lyrae similem, miratum, quod imago a se inventi operis in caelo quoque reperiretur stellarum conlocatione, quae causa esset concinentiae, recensere: primum se a terra transmisisse Lunae globum, post quem superasse Solis, dehinc Mercurii Stilbontis et ceterorum cum aplani summa et excelsa'. Ach. Tat., p. 136 A περὶ δὲ τῆς ἐναρμονίου κινήσεως αὐτῶν (stellarum errantium) εἶπεν, ὡς ἔφην, Ἄρατος ἐν τῷ Κανόνι, καὶ Ἐρατοσθένης ἐν τῷ Ἑρμῇ

14

Philo, *de Providentia*, p. 101 (ex versione Armenia in linguam Latinam translata ab Auchero) 'Circulus tamen Lacteus ad quid est? Arbitrantur . . . alii Geryonis pecudum viam, per quam eas duxit Hercules: alii vero ex γαλακτικοῖς, sc. lacte plenis, Iunonis uberibus; quod etiam Heratosthenes sensit; quare dicit: "Miror, si aggrediar Iovis sacra vestigia pedis"'. Nimirum dixit Eratosthenes

θαυμάζω δὲ ποδῶν Διὸς ἴχνεσιν ἱροῖς | εἰ πελάσω

vel similia. Quae sequuntur ap. Philonem 'quod cornu appellat hucusque, et circulum festinantis velocisque suffurantis paleas' ad Armenium scriptorem pertinere docuit Gildemeister, Viam enim Lacteam Armeniis esse Hartacol vel Hartcogh, 'paleae furem', quam in fuga sua sparsisset. 'Nescimus an sensum solum expresserit hac voce Interpres Armenius, an legerit in Graeco libro aliquid simile, ut ἀχυρόφωρ vel ἀχυροκλεπτής,' Aucher. Verba tamen non Eratosthenis sed interpreti Armenio Philonis tribuenda sunt

15

*Ὀκτὼ δὴ τάδε πάντα σὺν ἁρμονίῃσιν ἀρήρει,*
*ὀκτὼ δ' ἐν σφαίρῃσι κυλίνδετο κύκλῳ ἰόντα*
*. . . . . . ἐνάτην περὶ γαῖαν.*

Theo. Sm., p. 105 Hill. 2 σφαίρῃσι apogr. A: σφαίρεσι A[1]: σφαίραισι A[2]: 2, 3 corrupte leguntur in Theol. arith., p. 56 σὺν ὀκτὼ δὴ σφαίρῃσι κυλίνδεται ὁ κυκλώων ἐνάτην περιγαίην, Ἐρατοσθένης φησίν 3 ἐννέα τῶν περὶ γαῖαν A

del. verba A$^2$: *ταῦτ' ἐνάτην* Bergk, sed latior hiatus esse videtur, et *περὶ γαῖαν* versum concludere

## 16

*Αὐτὴν μέν μιν ἔτετμε μεσήρεα παντὸς Ὀλύμπου*
*κέντρου ἄπο σφαίρης, διὰ δ' ἄξονος ἠρήρειστο.*
*Πέντε δέ οἱ ζῶναι περιειλάδες ἐσπείρηντο·*
*αἱ δύο μὲν γλαυκοῖο κελαινότεραι κυάνοιο,*
*ἡ δὲ μία ψαφαρή τε καὶ ἐκ πυρὸς οἷον ἐρυθρή.*
*Ἡ μὲν ἔην μεσάτη, ἐκέκαυτο δὲ πᾶσα περὶ⟨πρὸ⟩*
*τυπτομένη φλογμοῖσιν, ἐπεί ῥά ἑ Μαῖραν ὑπ' αὐτὴν*
*κεκλιμένην ἀκτῖνες ἀειθερέες πυρόωσιν·*
*αἱ δὲ δύω ἑκάτερθε πόλοις περιπεπτηυῖαι,*
*αἰεὶ κρυμαλέαι, αἰεὶ δ' ὕδατι νοτέουσαι·*
*οὐ μὲν ὕδωρ, ἀλλ' αὐτὸς ἀπ' οὐρανόθεν κρύσταλλος*
*κεῖτ', αἶάν τ' ἀμπίσχε, περὶ ψῦχος δ' ἐτέτυκτο.*
*Ἀλλὰ τὰ μὲν χερσαῖα . . . .*
*. . . . ἀνέμβατοι ἀνθρώποισι·*
*δοιαὶ δ' ἄλλαι ἔασιν ἐναντίαι ἀλλήλῃσι*
*μεσσηγὺς θέρεός τε καὶ ὑετίου κρυστάλλου,*
*ἄμφω εὔκρητοί τε καὶ ὄμπνιον ἀλδήσκουσαι*
*καρπὸν Ἐλευσίνης Δημήτερος· ἐν δέ μιν ἄνδρες*
*ἀντίποδες ναίουσι.*

1, 2 Achill. Tat., p. 61 Maass, *Comment. in Arat.* 3 sqq., id. p. 63 3–10 omisso 6, Heracl. All. Hom. C. 50 (Oelmann), Schol. B ad Σ 468, cf. Verg. Georg. i. 233 sqq. et Probum ad loc.

1 *ἔτετμε*, secundum Bernh. 'Mercurius invenit', nolim Hilleri 'Axis *διήκει*, audacter sensu translato'; cuius nulla auctoritas *παντὶ* M[ediceus] *παν* (*τ̀* sscr., i.e. *παντὶ* aut *-ὸς*) Vat[icanus] 2 *ἔπι* Bergk *σφαίρας* codd.: corr. Hill. 3 *οἱ* Schol. B, Heracl., Prob.: *αἱ* libri *περιειλάδες* M: *περιειλάε* V: *περιηγέες* Heracl., Schol. B: *περιαρέες* (ortum ex *περιαγέες*) Prob., glossemata *ἐσπείρηντο* Schol. B: *ἐσπείρηνται* M: *σπείρηνται* V, Heracl.: *πείρηνθο* Probi Bobiensis 4 *κελαινότεραι* codd: *κυανότεραι* Probi Bob. 5 *ψαφαρή* M: *ψαφαρά* Schol. B *ἐκ πυρὸς* Achill. et Heracl. A D: *ἔκπυρος* Schol. B; cf. Verg. G. i. 234 'ab igni' 6–8 M ita exhibet:

*ἡ μὲν ἔην μεσάτη περιτυπτομένη φλογμοῖσιν*
*ἀκτῖνες γὰρ πᾶσαν ἀειθερέες πυρόωσιν.*

adscriptis in margine his verbis: *ὅτι τινα παρελείφθη ὡς ἀδιάγνωστα καὶ ἐσφαλμένα. διωρθώθη δέ τινα παρ' ἐμοῦ, ὡς οἷόν τε ἦν, ὥστε σῶσαι τὴν ἔννοιαν.* *μέσην* V: *μέσση* Maass. Versum om. Heracl. et Schol. B: *πρὸ* add. Scal., J. Fell: *πυρὶ πρὸ* Petav.: lacunam indicat Maass 7 *τυπτομένη* Heracl.: *τυ . . . πτομενη* (*υ* in ras. scripta) V: *τυφομένη* Emper. *ἐπεί ῥά ἑ Μαῖραν* Matranga: *ἐπιρασμοῖραν* V: *μαῦραν* Schol. B: *μοῖραν* Heracl. D:

(Μαῖρα Canicula est) ὑπ' Achill.: ἐπ' Heracl., Schol. B 8 κεκλιμένην Schol. B: κεκλιμέναι Heracl., coni. Scal.: κεκλημένοι V 9 πόλοις περιπεπτηυῖα Achill.: πόλοιο περιπεπηγυῖαι Her., Schol. B 10 Versum exhibet corrupte M αἱ δὲ φρικαλέαι· οὐ μὴν ὕδωρ· ἀλλ' αὐτὸς κρυμαλέαι Heracl.: βριμαλέαι Schol. B (nempe confusis β et κ, nam vocabulum ignotum est): φρικαλέαι Achill. V, quod praeferunt Bergk, Maass, quanquam errat cum in Schol. B inveniri dicit αἰεὶ δ' Heracl.: εἶθ' V: αἰεί θ' Scal. μογέουσαι Schol. B, Heracl.: νοτέουσιν V: νοστέουσιν Victor., edit. princ.: νοσέουσι J. Fell, Scal.: νοτέουσαι coni. Lobeck, cf. Schol. B Dind., p. 190. 29 πέμπτη δ' ἐπωνύμιος τοῦ νοτίου μέρους, ἡ νότιός τε καὶ ἀντάρκτιος καλουμένη. Verg. Georg. i. 236 'caeruleae, glacie concretae atque imbribus atris' ad textum nostrum spectat 11 μὴν Achill.: corr. Scal., J. Fell: οὐ μὲν . . . ἀλλά vel δέ potissimum usurpat Ap. Rhod., vid. Wellaueri Indicem: apud Atticos οὐ μὲν δή usitatum, Plat. Phaedr. 259 B (sequitur δέ), Xen. Anab. ii. 2. 3 (δέ), ib. iii. 2. 14 (ἀλλά) 11, 12 οὐρανόθεν γε περίψυκτος κεῖται κρύσταλλος confuse M 12 κεῖτ', αἶάν τ' ἀμπίσχε scripsi; nunc video in eadem incidisse Coningtonium ad Verg. Georg. i. 233 (sed ἀμπέσχε): κεῖται ἀνάπεσχε V: κείνην γαῖαν ἔπεσχε Bergk, alii alia περὶ ψῦχος Maass: περίψυκτος δὲ τέτευκται V: τέτευκτο Scal. Desiderat Maass κεῖται τοῖς ἑκάτερθε περὶ ψῦχος δὲ τέτευκται 13, 14 unum versum exhibent codd., duos conflatione coaluisse suspicatur Hill., velut vv. 6–8, 10, 11 ὄμβατα M: ἀνεωβατ (sscr. οι) V, non, ut tradidit Maass, ἀνεώβατα: τὰ μὲν χερσαῖά τ' ἀνέμβατά τ', et αἱ μὲν χέρσοι καὶ ἀνέμβατοι Hill.: χερσαῖα 'sterilia', Hill. 15 ἀλλήλαισι M V: corr. Scal., J. Fell 16 κρυστάλλου om. V: fort. παγετοῖο Hill. αὐδήσκουσαι M V: em. Ursinus 17 εὔκρητοι V: ὄκρητοι M: non εὔκρητοι ut tradidit Hill. 18 'Ελευσῖνης, cf. 'Eleusinae Matris', Verg. G. i. 163, vid. ad v. 10 sup.: 'Ελευσῖνίδαο habet Hom. Hymn Cer. 105, et 'Ελευσῖνίων ib. 266, 'Ελευσῖνίας Soph. Ant. 1120 ἐν δέ μιν] αἶν μίαν Harberton

De versibus χρειὼ πάντ' ἐδίδαξε· τί δ' οὐ χρειώ κεν ἀνεύροι; et ὀρθοῦ· καὶ γὰρ μᾶλλον ἐπωδίνουσι μέριμναι quos Hiller Eratosthenis Mercurio tribuere vult, vide quae scripsi ad Archyt. 3, 4

## 17 'Αντερινύς

"Εκ τέ οἱ ὄσσε
κανθῶν παμφαίνεσκε Μοσυχλαίῃ φλογὶ ἶσον.

Credunt Hiller et Bergk titulum poematis esse duplicem, 'Αντερινὺς ἢ 'Ησίοδος, libello De Homeri et Hesiodi Certamine 17, Allen, p. 234, freti: 'Ερατοσθένης δέ φησιν ἐν †ενηπόδω Κτίμενον καὶ "Αντιφον τοὺς Γανύκτορος (Hesiodi interfectores) . . . σφαγιασθῆναι, ubi Goettling. coni. ἐν 'Ησιόδῳ, cf. fr. 21. ('Ανδραπόδῳ Barnes, Οἰνόης πόλει K. Müller, ἐνάτῃ 'Ολυμπιάδι Bernhardy.) Coniecit Bergk mortem Hesiodi suppliciumque percussorum hoc carmine esse narrata.

Schol. Nicand. Ther. 472 καὶ 'Ερατοσθένης φησί sqq. vv. ἔκ τέ οἱ ὄσσε | κανθῶν παμφαίνεσκε Hiller εὖ τοι ὄσσε κάνθων K P V παμφαίνεσκε K G V: φαίνεσκε P Ald. ἐν δέ οἱ ὄσσε ἐκ κανθῶν φαίνεσκε vel κανθοῖς παμφαίνεσκε Bergk: εὖ τοι ὄσοις Ald.: εὖτε οἱ ὄσσε ἐκ κ. φ. Dübn.: ἐν δέ οἱ ὄσσε κανθοῖς π. Schneider. Cf. proverbium Λήμνιον βλέπειν. Coniecit Hill. dici verba posse 'de Ctimeno, vel Antipho, irate Hesiodum, quem vitium sorori obtulisse suspicaretur, intuente'

## 18 Ex incerto loco

Αἱ δὲ πελιδναὶ
πυθεδόνες γάστρην ἀν' ὑπέτρεφον οὐλοὸν ἕλκος.

Schol. Nicand. Ther. 465 καὶ Ἐρατοσθένης seqq. vv. 1 αἱ δὲ G: οὐδὲ K V P αἱ πελιδναὶ Bach, ut pentametro facto Erigonae conveniret: pestis enim propter Icarii mortem Athenienses invasit; et ita Bergk, *Anal. Alex.* ii. 8 2 γάστρην ἀν' Bussemaker, L V: γάστρηναν K P: γάγγραιναν Lobeck ὑπέτρεφον K P: ὑπέστρεφον G: ἀνυπέστρεφον L: ἀνυπόστροφον V. Hillero de Hesiodi corpore dictum esse censenti vix quisquam consentiet: verba Thucydideum illud ii. 49 ἕλκεσιν ἐξηνθηκός videntur revocare

19

Ἰυγῆς δ' ὡς παῦρον ἐπέκλυον

Schol. Nicand. Ther. 400 Ἐρατοσθένης ἐν Ἀντερινύι περὶ κυνὸς εἶπεν· Ἰυγῆς κτλ., ἐν Ἠριγόνῃ coni. Schneider, Bernhardy, de cane qui Icarii mortem Erigenae prodidit, Scholl. ad X 29, Pollux v. 42. Sed et canis Hesiodi idem fecit, Plut. *de Sollert. Anim.* 969 D, Pollux v. 42. ἐπέκλυον G L: ἀπέκλυεν P A I J: ἀπέκλινεν K

20

Athen. ix, p. 376 B Ἐρατοσθένης ἐν Ἀντερινύι τοὺς σύας λαρινοὺς προσηγόρευσε

21

Choerob. in Theod. Gaisf. i, p. 81. 27 Γάνυξ Γάνυκος, ὁ Γανύκτωρ· παρὰ τῷ Ἐρατοσθένει. Γανάκτωρ Choerob.: corr. Bernhardy; cf. sup. de titulo. Ganyctor aut alter erat percussorum Hesiodi (Hom. et Hes. Certamen, p. 234 Allen) aut percussorum pater, Paus. ix. 31. 6, Suid. s.v. Ἡσίοδος, Plut. *de Sollert. Anim.* 969 D

## 22 Ἠριγόνη

Ἰκαριοῖ, τόθι πρῶτα περὶ τράγον ὠρχήσαντο.

Hygin. de Astr. ii. 4. [Cum e dono Bacchi Icarius vineam consevisset], 'dicitur hircus in vineam se coniecisse, et quae ibi tenerrima folia videret decerpsisse; quo facto Icarium irato animo tulisse, eumque interfecisse, et ex pelle eius utrem fecisse ac vento plenum praeligasse et in medium proiecisse, suosque sodales circa eum saltare coegisse. Itaque Eratosthenes ait: 'Ἰκαριοῖ κτλ.' Erigonen vocat [Longinus] *de Sublimitate*, xxxiii. 5 διὰ πάντων ἀμώμητον ποιημάτιον. Ἰκαριοῖ Hiller: εικαριοι MSS. Ἰκάριοι Maass et alii, vid. Maassium, *Anal. Eratosth.*, p. 60, et 113; sed cf. Steph. Byz. s.v. Ἰκαρία· τὰ τοπικὰ Ἰκαριόθεν Ἰκαριάζε Ἰκαριοῖ. τράγον Hiller: στρλγον vel στρλτον MSS. De Icario et Erigona vid. Scholl. ad X 29. Sed Eratosthenem tantum de hirci sacrificio loqui ostendit Hiller, quod cum Ἀσκωλιασμοῦ ludo confudit Hyginus. Vid. ad fr. 27, 31, 36

23

Εἰσότε δὴ Θορικοῦ καλὸν ἵκανεν ἕδος

Steph. Byz. s.v. ἄστυ. λέγεται ἄστυ καὶ ὁ δῆμος, ὡς Ἐρατοσθένης ἐν Ἠριγόνῃ (seq. vers.)· ὅτι δὲ δῆμος Θορικὸς δῆλον εἰσότε δή edd. Thesauri Steph. Paris., Hiller, Maass: εἰδ ὅτε δὴ R: εἰ ὅτε δὴ cett.: εἰς τε Ald.: εἰσόκε Salmas.: ἡ δ' ὅτε Mein: ἄστυ τε δὴ O. Muller ἄστυ περικλειτόν vel simile aliquid post ἕδος excidisse ostendit Mein. ἵκανεν fort. Dionysus (Ruhnken)

24

Μέσον δ' ἐξαύσατο βαυνόν.

Schol. Dion. Thr., p. 112, Hilg. σημαίνει δὲ τὴν κάμινον, ὡς παρὰ τῷ Ἐρατοσθένει (sqq. vbb.) ἤγουν ὑφῆυσε. Fort. Icarius, qui ignem accendit ut Dionysum hospitio exciperet (Bergk)

25

*Καὶ βαθὺν ἀκρήτῳ πνεύμονα τεγγόμενος*

Plut. *Conv. Disp.*, p. 699 A (de potus transitu per pulmonem) ἐπεὶ μάρτυρές γε τῷ Πλάτωνι . . . πάρες δὲ καὶ τὸν κομψὸν Ἐρατοσθένην λέγοντα (sq. v.): Macrob. Sat. vii. 15. 22. Ad Erigonam rettulit Brunck

26

*Μόσχους καὶ χλωρὰς κλήματος ἐκφυάδας*

Schol. Dioscoridis *in Medic. Graec. Varia Opuscula* (C. F. Matthaei), p. 360 μόσχον ἀντὶ τοῦ κλάδου ἢ βλαστόν . . . ὡς καὶ ἐν Ἠριγόνῃ (sic Mein. pro ὁ ἐξ Ἠριγόνης, *Anal. Alex.* p. 274) Ἐρατοσθένης. Bergk interpretatur de hirco; cf. frag 22

27

*Περιπλέγδην κρεμόνεσσι*

Theodos. περὶ κλίσεως τῶν εἰς -ων̄ ὀξυτόνων, A. Hilgard, *Excerpta ex libris Herodiani*, p. 23. 21 παρὰ τῷ Ἐρατοσθένει. Frag. post Hill. repertum. Erigonae referendum esse videtur, et palmitibus. Frr. 31 et 36 fort. Erigonae tribuenda

28 Ἐπιθαλάμιος

*Etym. Mag.* 170. 47 s. v. αὐροσχάς. Ἐρατοσθένης ἐν Ἐπιθαλαμίῳ τὸ κατὰ βότρυν κλῆμα. Vid. ad fr. 37

28 b Διόνυσος Κεχηνώς

Hanc Samiam fabulam (cf. Euphor. frr. 19, 123) poetice tractavisse videtur Eratosthenes: Aelian, H. A. vii. 48, Plin. N. H. viii. 16. 57. Vid. Euphor., fr. 19, ubi locos exscripsi

## Incertae sedis fragmenta

29

*Ὀπταλέα κρέα*

*ἐκ τέφρης ἐπάσαντο τά τ' ἀγρώσσοντες ἕλοντο.*

Athen. i, p. 24 A οἱ δὲ νεώτεροι καὶ ἐπὶ τοῦ πληρωθῆναι τιθέασι τὸ πάσασθαι· Καλλίμαχος· (fr. 261 Schn.) Ἐρατοσθένης sqq. vv. 1 κρέα ⟨θηρῶν⟩ Mein.

30

*Τρὶς δ' ἀπομαξαμένοισι θεοὶ διδόασιν ἄμεινον.*

Athen. i, p. 2 A ὥς πού φησιν ὁ Κυρηναῖος ποιητής. ἀπομαξαμένοισι A: ἀποδεξαμένοισι CE (sed in C μα sscr.). Eundem titulum poetae dedit Ath. ii. 36 E (fr. 36 infra). Lustrationem dici recte censuit Erasmus; magis arcessita alii ap. Hillerum

31

*Πολλὴ ἀντιμαχητύς*

Scholl. B T Τ 233 ἔστι δὲ ἡ λέξις Ἀντιμάχειος· χαίρει δὲ καὶ Ἐρατοσθένης ταῖς τοιαύταις ἐκφοραῖς. ἀντιμαχητύς Bekker T: -ιστύς B, unde ἀντιμαχηστύς Bernhardy. Πολλή in initio Hexametri et ἀντι- in fine positos esse susp. Hill. An de vinolentis dictum est et ex Erigona?

## 32

## Ἡδυντῆρες

Hesych. ἡδυντῆρες· οἱ ἅλες. Ἐρατοσθένης

## 33

## Γρῆνυς vel γρῆνον

Hesych. s.v. ἀγρηνόν. Ἀγρηνόν· δικτυοειδές, ὃ περιτίθενται οἱ βακχεύοντες Διονύσῳ· Ἐρατοσθένης δὲ αὐτὸ καλεῖ γρῆνυν ἢ γρῆνον. Cf. *Etym. Mag.* 142, unde Hiller scribit ἀγρηνὸν ⟨ποικίλον ἐρεοῦν⟩ δικτυοειδές· ⟨καὶ ἔνδυμα⟩ ὃ περιτίθενται κτλ. γρῖνυν ἢ γρῖνον Bernhardy. Posse ad Erigonam pertinere censet Hill., coll. *Etym. Mag.* 241. 14 γρήνη ἄνθη σύμμικτα cum Diod. iv. 4 ἐσθῆσιν ἀνθιναῖς, Pollux iv. 118. 117 de Dionysi veste

## 34

'Scolymum quoque in cibos recepit Oriens, et alio nomine limoniam appellavit. Frutex est nunquam cubitali altior, cristis foliorum et radice nigra, sed dulci ; Eratostheni quoque laudata in paupere cena', Plin. N. H. xxii. 86. Posse ad Erigonam pertinere censent Hill. Maass

## Dubium

## 35 Cubi Duplicatio

*Εἰ κύβον ἐξ ὀλίγου διπλήσιον, ὠγαθέ, τεύχειν*
*φράζεαι, ἢ στερεὴν πᾶσαν ἐς ἄλλο φύσιν*
*εὖ μεταμορφῶσαι, τόδε τοι πάρα, κἂν σύ γε μάνδρην*
*ἢ σιρὸν ἢ κοίλου φρείατος εὐρὺ κύτος*
*τῇδ' ἀναμετρήσαιο, μέσας ὅτε τέρμασιν ἄκροις*
*συνδρομάδας δισσῶν ἐντὸς ἕλῃς κανόνων.*
*Μηδὲ σύ γ' Ἀρχύτεω δυσμήχανα ἔργα κυλίνδρων*
*μηδὲ Μεναιχμείους κωνοτομεῖν τριάδας*
*δίζηαι· μηδ' εἴ τι θεουδέος Εὐδόξοιο*
*καμπύλον ἐν γραμμαῖς εἶδος ἀναγράφεται.*
*Τοῖσδε γὰρ ἐν πινάκεσσι μεσόγραφα μυρία τεύχοις*
*ῥεῖά κεν, ἐκ παύρου πυθμένος ἀρχόμενος.*
*Εὐαίων, Πτολεμαῖε, πατὴρ ὅτι παιδὶ συνηβῶν*
*πάνθ' ὅσα καὶ Μούσαις καὶ βασιλεῦσι φίλα*
*αὐτὸς ἐδωρήσω· τὸ δ' ἐς ὕστερον, οὐράνιε Ζεῦ,*
*καὶ σκήπτρων ἐκ σῆς ἀντιάσειε χερός·*
*καὶ τὰ μὲν ὣς τελέοιτο, λέγοι δέ τις ἄνθεμα λεύσσων·*
*Τοῦ Κυρηναίου τοῦτ' Ἐρατοσθένεος.*

In Eutocii Comment. in libros Archimedis de Sphaera et Cylindro, iii, p. 96, Heiberg. 1 ἐξ ὀλίγου, 'e parvo cubo'; neque 'brevi tempore' (=δι' ὀλίγου) Reimer, neque 'parvo molimine', Heiberg 2 φράζεαι

GHE[2]: φράζεται A   ἢ coni. Jacobs: καὶ Heib.: τὴν A: τὴν στερεοῦ cum μεταμορφῶσαs v. 3, Harberton   3 τότε Wurm   4 σειρον A: corr. Scal., J. Fell   8 Μεναιχμείους Procl. in Euclid. El., p. 31, qui versum citat. Menaechmus geometriam sectionum conicarum invenit: Μενεχμείους A   9 διζηαι A; 'turpissimus soloecismus μηδὲ δίζηαι', Hiller; neque μηδὲ cum ὅτε (v. 5) iungendum: διζήσῃ Wilam. θεουδέος recentiorum usu 'divini', ut videtur; frustra contendit Wilam. e Diog. Laert. viii. 91 'pium' fuisse Eudoxum: famam Memphiticam tantum versibus suis ornavit Diogenes   11 τοισδε δε εν A[1]: δέ τ' Reimer: σύ γ' ἐν Herm.: δέ γ' Bernhardy: δέ κεν Wurm: γὰρ Wilam.: ἂν ἐν et μὲν in v. 12 Harberton   πινάκεσι A: corr. Fell   12 μὲν G: κεν ed. Bas.   14 quod praeceptor esset Eratosthenes Ptolemaei Philopatoris commentus est Wilam.   15 ὁ δ' Wilam.   17 μεσόλαβον in templo Ptolemaei dedicasse Erat. censet Wilam.

Ita vertit Heiberg: 'Si cubum parvo molimine conduplicare cogitas, amice, vel quamvis speciem solidam in aliud bene convertere, licet tibi, et vel sirum vel latam cavernam cavi putei hac ratione metiri possis, ubi intra duas regulas extremis terminis concurrentes rectas medias sumpseris. Neve confugeris ad Archytae inhabilia molimina cylindrorum, neve ad Menaechmi lineas illas tres per sectiones conicas efficiendas, neve si qua species linearum curvarum ab Eudoxo, viro divino, construitur. His enim tabellulis sescentas medias proportionales facillime efficies a parvo initio progrediens. Felix es, Ptolemaee, quia pater cum filio iuvenescis, et ipse ei omnia donavisti quaecunque et Musis et regibus placent; postea autem, Iuppiter optime maxime, etiam sceptrum e manu tua utinam accipiat. Haec igitur ita eveniant; dicat autem aliquis hoc cernens: Hoc donum votivum est Eratosthenis Cyrenensis.'

Epigramma damnat Hiller, et vitia nonnulla invenit Heiberg[1]; Wilamowitz in *Nachr. d. Gött. Ges. d. Wissensch.* 1894, 1, genuinum esse contendit, et Knaack ap. Pauly-Wiss.; sententiam mutavit Heiberg[2], nimirum Wilamowitzii auctoritate motus: sed multa obsunt; μηδὲ δίζηαι, v. 9 soloecismus est, et dura est constructio cum accus. primum, mox cum infinitivo: Ptolemaeum ὠγαθέ, v. 1, appellare nimis familiare est, neque θεουδής, v. 9, 'divinus', ut videtur, usus est proprius: obscuri sunt vv. 11–15. Contra recte, ut apud veteres, σῖρός, v. 4, corripitur; recentiores σῖρός producunt: et εὐαίων, v. 13, revocat Callim. Ep. 51. 3 εὐαίων ἐν πᾶσιν ἀρίζαλος Βερενίκα. Neque ex Epistola ad Ptolemaeum Epigramma compositum esse videtur. Ἀνάθημα fuisse μεσόλαβον quoddam verisimile est; tales figuras tanquam monumenta constitui docet Schol. Rav. ad Aristoph. Aves 997 φησὶ δὲ Καλλίστρατος ἐν Κολωνῷ ἀνάθημά τι εἶναι αὐτοῦ (*sc.* Metonis) ἀστρολογικόν, et Plut. Marcell. 17 de figura mathematica in Archimedis tumulo sculpta

## 36

*Οἶνός τοι πυρὶ ἶσον ἔχει μένος, εὖτ' ἂν ἐς ἄνδρας*
*ἔλθῃ· κυμαίνει δ', οἷα Λίβυσσαν ἅλα*
*Βορρῆς ἠὲ Νότος, τὰ δὲ καὶ κεκρυμμένα φαίνει*
*βυσσόθεν, ἐκ δ' ἀνδρῶν πάντ' ἐτίναξε νόον.*

Athen. ii. 36 E κατὰ δὲ τὸν Κυρηναῖον ποιητὴν (vid. fr. 30) Οἶνος . . . νόον; Stob. Flor. Hense, iii, p. 513, Hesych. s.v. ναρθηκοπλήρωτον continet v. 1 Οἶνος . . . μένος; Clem. Alex. *Paedag.* ii. 2. 28 ἐντεῦθεν καὶ ἡ ποιητικὴ ὠφελημένη λέγει· Οἶνος . . . ψυχαπάτης, καὶ τὰ ἑξῆς: vid. ad v. 4. 1 οἶνός θ' ὃς Clem.   τε Stob.: τῷ cod. Hesych.: τοι corr. Florens; reminiscitur poeta Panyass. 12. 12 K οἶνος γὰρ πυρὶ ἶσον   ἄνδρας Ath.,

Clem.: ἄνδρα Stob. 3 καὶ om. Ath. Clem. Stob. M A, ins. Stob. S 4 om. Clem. apud quem locus continuatur in v. 3:

κεκρυμμένα πάντα
φαίνει ἁμαρτοεπὴς οἶνος μεθύουσιν ὄλισθος
οἶνος ψυχαπάτης, καὶ τὰ ἑξῆς.

Duorum poetarum verba errore coniuncta ratus esse Sylburg, scribit κεκρυμμένα φαίνει, ⟨καὶ πάλιν⟩ οἶνος ἁμαρτοεπὴς fort. recte: omnia Eratostheni tribuit Bergk hoc modo:

πάντ' ἐτίναξε νόον
οἶνος ἁμαρτοεπής, οἶνος μεθύουσιν ὄλισθος,
οἶνος ψυχαπάτης:

quae verba epigrammatis aculeum hebetant, et virum abstemium sapiunt qui passim rivis currentia vina reprimere studet. Epigramma ipsum Erigonae tribuunt Brunck, Bernh. fort. recte. Maass, *Anal. Eratosth.* 108. Contra testimonia plana dubitat Wilam. num Eratostheni tribuatur poema; *Nachr. d. Gött. Ges. d. Wiss.*, 1894, 20.

### Alienum

37

*Αὐροσχάδα βότρυν*

*Ἰκαριωνείης*

*Etym. Mag.* 170. 47 αὐροσχάς· ἡ ἄμπελος· μέμνηται Παρθένιος ἐν Ἡρακλεῖ αὐροσχάδα βότρυν Ἰκαριωνίης. Ἐρατοσθένης δὲ ἐν Ἐπιθαλαμίῳ τὸ κατὰ βότρυν κλῆμα. Ἰκαριωνείης vel Ἰκαριώνης Bergk: Ἰκαριώνης Maass: (μίσημ') Ἰκαριωνίνης Haupt: ἡ δ' αὐροσχάδα βότρυν ἀπεστύγεν Ἰκαριώνη, vel ἔνθ' αὐ. β. ἐπεὶ πόρεν Ἰκαρίωνι Mein. Versus ita restit. Hill.:

⟨κούρης δ' ἐν χείρεσσιν ἔθηκ'⟩ αὐ. β.
Ἰκαριωνίνης ⟨καὶ τόδ' ἔλεξεν ἔπος⟩.

Verba ad hunc modum mutavit Hill.: μέμνηται Π. ἐν Ἡρακλεῖ. Αὐρο. β. Ἰκαριωνίης Ἐρατοσθένης. ⟨ὁ δεῖνα⟩ δὲ ἐν Ἐπιθαλαμίῳ κτλ., nomine auctoris, velut Sapphus, amisso: Hillerum sequitur Maass, *Anal. Erat.*, p. 92. Quae omnia mera somnia sunt. Verba ipsa Parthenium sapiunt, non Eratosthenem. Martini, *Parthenii Relliquiae*, p. 20 delet βότρυν et inverso verborum ordine hexametri initium invenit

38 *Οἰρών* (*οἰ-* ?) vel *οἰορών*: vid. Epimetrum iii

## MAIISTAS

### Praescripta est Apollonii narratio de Sarapeo

Ὁ ἱερεὺς Ἀπολλώνιος ἀνέγραψεν κατὰ πρόσταγμα τοῦ θεοῦ. ὁ γὰρ πάππος ἡμῶν Ἀπολλώνιος, ὢν Αἰγύπτιος ἐκ τῶν ἱερέων, τὸν θεὸν ἔχων παρεγένετο ἐξ Αἰγύπτου, θεραπεύων τε διετέλει, καθὼς πάτριον ἦν, ζῶσαί τε δοκεῖ ἔτη ἐνενήκοντα καὶ ἑπτά. Διαδεξαμένου δὲ τοῦ πατρός μου Δημητρίου, ἀκολούθως τε θεραπεύοντος τοὺς θεούς, διὰ [δὲ] τὴν εὐσέβειαν ἐστεφανώθη ὑπὸ τοῦ θεοῦ εἰκόνι χαλκεῖ ἣ ἀνακεῖται ἐν τῶι ναῶι τοῦ θεοῦ· ἔτη δὲ ἐβίωσεν ἑξήκοντα καὶ ἕν. Παραλαβόντος δέ μου τὰ ἱερὰ καὶ προσκαθημένου ταῖς θεραπείαις ἐπιμελῶς, ὁ θεός μοι

ἐχρημάτισεν κατὰ τὸν ὕπνον ὅτι Σαραπιεῖον δεῖ αὐτῶι ἀναδειχθῆναι ἴδιον καὶ μὴ εἶναι ἐν μισθωτοῖς καθὼς πρότερον, εὑρήσειν τε τόπον αὐτὸς οὗ δεῖ ἑδρασθῆναι σημανεῖν τε τὸν τόπον· ὃ καὶ ἐγένετο. Ὁ γὰρ τόπος οὗτος ἦν κόπρου μεστὸς ὃς προεγέγραπτο πωλούμενος ἐν βιβλιδίωι ἐν τεῖ διόδωι τῆς ἀγορᾶς· τοῦ δὲ θεοῦ βουλομένου συνετελέσθη ἡ ὠνή, κατεσσκευάσθη τε τὸ ἱρὸν συντόμως ἐν μησὶν ἕξ. Ἀνθρώπων δέ τινων ἐπισυνστάντων ἡμῖν τε καὶ τῶι θεῶι, καὶ ἐπενενκάντων κρίσιν κατὰ τοῦ ἱεροῦ καὶ ἐμοῦ δημοσίαν, τί χρὴ παθεῖν ἢ ἀποτεῖσαι, ἐπηνγείλατο [δ'] ἐμοὶ ὁ θεὸς κατὰ τὸν ὕπνον ὅτι νικήσομεν. Τοῦ δ' ἀγῶνος συντελεσθέντος καὶ νικησάντων ἡμῶν ἀξίως τοῦ θεοῦ, ἐπαινοῦμεν τοὺς θεοὺς ἀξίαν χάριν ἀποδιδόντες. Γράφει δὲ καὶ Μαΐστας ὑπὲρ τοῦ ἱεροῦ εἰς τὴν ὑπόθεσιν ταύτην.

## Maiistas: Aretalogia

Μυρία καὶ θαμβητὰ σέθεν, πολύαινε Σάραπι,
ἔργα, τὰ μὲν θείας ἀνὰ τύρσιας Αἰγύπτοιο
ηὔδηται, τὰ δὲ πᾶσαν ἀν' Ἑλλάδα, σεῖό θ' ὁμεύνου
Ἴσιδος· ἐσθλοῖσιν δὲ σαώτερες αἰὲν ἔπεσθε
ἀνδράσιν οἱ κατὰ πάντα νόωι ὅσια φρονέουσιν.
Καὶ γάρ τ' ἀμφιαλεῖ Δήλωι ἀρίσημα τέλεσσας
τἀπολλωνίου ἱρὰ καὶ εἰς μέγαν ἤγαγες αἶνον.
Αὐτὸς δ' οἱ δηναιὰ πατὴρ ἐκόμισσεν ἀπ' αὐτῆς
Μέμφιδος, ὁππότε νηῒ πολυζύγωι ἤλυθεν ἄστυ
Φοίβου, ἔνδον εἰῶι δ' ἀέκων ἵδρυσε μελάθρωι
καί σε φίλως θυέ⟨εσ⟩σιν ἀρέσσατο. Τὸμ μὲν ἄρ' αἰὼν
γηραιὸν κατέπεφνε, λίπεν δ' ἐν σεῖο τεράμνωι
υἷα θυηπολέεν Δημήτριον, ὧι ἐπίπαγχυ
γήθησαν θέραπες. Τοῦ μὲγ κλύες εὐξαμένοιο
εἰκῶ χαλκείην νειῶι θέμεν εὖ δὲ τελέσσαι,
ἔννυχος Ἀντιπάτροιο καθυπνώοντι φαανθεὶς
δεμνίωι ἤνωγες τελέσαι χρέος. Ἀλλ' ὅτε καὶ τὸν
γηραλέον λίπε μοῖρα, πάϊς γε μὲν ἐσθλὰ διδαχθεὶς
ἐκ πατρὸς μεγάλως σέβεν ἱερά, πᾶν δὲ κατ' ἦμαρ
σὰς ἀρετὰς ἤειδεν, ἀεὶ δ' ἐλλίσ⟨σ⟩ετο νειὸν
ὅππηι σοι δείμειεν ἀριφραδέως καταλέξαι

ἔννυχον ὑπνώοντι, διηνεκὲς ὄφρα κε μίμνοις
σηκῶι ἐνιδρυθείς, μηδ' ἄλλυδις ἀλλοδαπῶι ἐν
οὔδει ἐνιχρίμπτοιο. Σὺ δ' ἔφρασας ἀκλέα χῶρον
ὄντα πάρος καὶ ἄσημον, ἀεὶ πεπληθότα λύθρωι
παντοίωι μετὰ πολλὸν ἔτι χρόνον· ἐννύχιος γὰρ
εὐνῆι ἐπιπρομολὼν λέγες· Ἔγρεο· βαῖνε δὲ μέσσα
παστάδος ἀμφὶ θύρεθρα, καὶ εἴσιδε γράμμα τυπωθὲν
τυτθῆς ἐκ βύβλοιο τό σε φρονέοντα διδάξει
ὅππηι μοι τέμενος τεύχηις καὶ ἐπικλέα νειόν.
Αὐτὰρ ὁ θαμβήσας ἀναέγρετο, βὰς δὲ μάλ' ὠκὺς
ἀσπασίως ἴδε γράμμα, καὶ ὤπασεν ἀργυραμοιβὸν
τιμὴν οὗ κτέαρ ἔσκε· σέθεν θ' ἅμα βουλομένοιο
ῥηιδίως καὶ νειὸς ἀέξετο καὶ θυόεντες
βωμοὶ καὶ τέμενος, τετέλεστο δὲ πάντα μελάθρωι
ἔδρανά τε κλισμοί τε θεοκλήτους ἐπὶ δαῖτας.
Καὶ τότε δή ῥα κακοῖσι κακὸς φθόνος ἔνβαλε λύσσαν
ἀνδράσιν οἵ ῥα δίκηι ἀνεμωλίωι ἐκλήισσαν
δοιὼ σὸν θεράποντα, κακὸν δ' ἐπὶ θεσμὸν ἔτευχον
ἤ τί χρὴ παθέειν ἢ ἐκ τίνα τῖσαι ἀμοιβὴν
θωῆς ἐνγράψαντα, κακῶι θ' ὑπὸ δείματι πᾶσαν
ἠῶ τε νυκτάς τε περὶ κραδίην ἐλέλιζεν
τάρβος θειοπόλοιο. Σὲ δὲ σταλάων ἅμα δάκρυ
λίσσετ' ἀλεξῆσαι μηδ' ἀκλέα τεῦξαι ἀμοιβὴν
σῶι ἱκέτει, θανάτου δὲ κακὰς ἀπὸ κῆρας ἐρῦξαι.
Οὐδὲ σύ, παμ⟨μ⟩νήστοισιν ἐφεσπόμενος πραπίδεσσι,
λήσαο τοῦ, νύχιος δὲ μολὼν ἐπὶ δέμνια φωτὸς
ηὔδησας· Μέθες ἄλγος ἀπὸ φρενός· οὔ σέ τις ἀνδρὸς
ψῆφος ἀϊστώσει, ἐπεὶ εἰς ἐμὲ τείνεται αὐτὸν
ἥδε δίκη, τὴν οὔτις ἐμεῦ περιώσιον ἄλλος
ἀνὴρ αὐδήσει· σὺ δὲ μηκέτι δάμναο θυμόν.
Ἀλλ' ὁπότε χρόνος ἷξε δικασπόλος, ἔγρετο ναοῖς
πᾶσα πόλις καὶ πάντα πολυμμιγέω⟨ν⟩ ἅμα φῦλα
ξείνων, ὄφρα δίκης θεομήτιδος εἰσαΐοιεν.
Ἔνθα σὺ κεῖνο πέλωρον ἐν ἀνδράσι θάμβος ἔτευξας
σή τε ἄλοχος· φῶτας γὰρ ἀλιτρο⟨νό⟩ους ἐπέδησας

οἵ ῥα δίκην πόρσυνον, ἐπὶ γναθμοῖς ὑπανύσσας
γλῶσσαν ἀναύδητον, τῆς οὔτ' ὄπιν ἔκλεεν οὐθεὶς
οὔτε γ⟨ρ⟩άμμα δίκης ἐπιτάρροθον, ἀλλ' ἄρα θείως
στεῦντο θεοπληγέσσιν ἐοικότας εἰδώλοισιν
ἔμμεναι ἢ λάεσσιν· ἅπας δ' ἄρα λαὸς ἐκείνωι
σὴν ἀρετὴν θάμβησεν ἐν ἤματι, κα⟨ὶ⟩ μέγα κῦδος
σῶι τεῦξας θεράποντι θεόδμητον κατὰ Δῆλον.
Χαῖρε, μάκαρ, καὶ σεῖο συνάορος, οἵ τ' ἐπὶ νειῶι
ἡμετέρων γεγάασι θεοί, πολύυμνε Σάραπι.

*I. G.* xi. 4. 1299: P. Roussel, *Les Cultes égyptiens à Délos*, pp. 71 sqq. 16 καὶ ὑπνώοντι Wilam., asyndeti remedium 22 vid. p. 245 32 ασπισιως lap.: corr. Roussel 34 fort. θυιεντες lap. 42 ηωτειν lap.: corr. Wilam. 49 εισιμε lap.: corr. Roussel 52 ἔγρετο 'confluxerunt'; desideres ἄγρετο; sed confusionem vocabulorum ἔγρετο et ἄγρετο e forma antiquis litteris scripta ΕΓΡΕΤΟ = ἤγρετο ad verbum ἀγείρειν pertinenti natam invenias apud Homerum: Leaf ad H 434 55 σασυ lap.: corr. Roussel θαυβος lap. 56 suppl. Wilam. 58 desideres ἔκλυεν; sed hanc formam in ἔκλεεν communem dialectum corrumpere conicit R. McKenzie, coll. πτύον et πτέον in Aelii Dionysii et Pausaniae fr. 288 Schw. Alia exempla dat T. Kalén, *Quaest. Gramm. Gr.*, pp. 2, 11 sqq. 59 suppl. Wilam. 60 'adseveravit volgus', cf. στεῦται· διαβεβαιοῦταὶ, Schol. Ap. Rhod. ii. 1204; non, ut Roussel, 'ils demeurèrent semblables'. Inscripsit prosa oratione et communi dialecto Apollonius, filius Demetrii Antipatri (poema, v. 16), poetica et artificiosa Maiistas, nomen adhuc inauditum, Deli in Sarapeo, ad finem tertii saeculi a. C. Poeta, quem Hymnologum vel Aretalogum vocat Roussel, scilicet ἀρετῶν dei alicuius narratorem (cf. v. 20), elaboratae dictioni et arcessitis locutionibus studet, velut ἀργυραμοιβὸν τιμήν 32, χρόνος δικασπόλος 52. Ἐναλλαγαὶ durae, velut καθυπνώοντι δεμνίῳ 16, 17; θεσμὸν ἐγγράψαντα 39, 41; cum ea usus Epici imperitia ut ὄπιν et ὄπα, quod detexit Wilamowitz, confuderit, et colore nimio ut bis idem praedicet θεοπληγέσσιν et εἰδώλοισιν, v. 60. Tralaticia Epicorum dialecto utitur, sed aequalium vocabula inserit (velit διηνεκές, 22; κτέαρ, 33; σταλάων, 43; λήσαο, 47; ἀλιτρόνοος, 56), recentiorum praesumit, velut θεόμητις, 54; θεοπληγής, 60

# EPICA ADESPOTA

## 1 Actaeonis Epyllium (?)

Δή νυν καλὸν σῶμα περισταδόν, ἠΰτε θηρός,
τοῦδε δάσαντο κύνες κρατεροί· †πέλας αρκενα πρώτη
. . . μετὰ δ' αὐτὴν ἄλκιμα τέκνα,
Λυγκεὺς καὶ Βαλίος πόδας αἰνετὸς ἠδ' Ἀμάρυνθος·
τοὺς δὲ μέτ' ἄλλοι πολλοὶ ἐπέσσυθεν ἐμμεμαῶτες
Ἀκταίω κτεῖναι ⟨κούρης⟩ Διὸς ἐννεσίῃσιν,
τοὺς ⟨μακρόν ἐστ'⟩ ὀνομαστὶ διηνεκέως καταλέξαι.
Πρῶτοι γὰρ μέλαν αἷμα πίον σφετέροιο ἄνακτος

Σπαρτός τ' Ὤμαργός τε Βορῆς τ' αἰψηροκέλευθος,

. . . . . . . . .

οὗτοι δ' Ἀκταίω πρῶτοι φάγον αἷμά τ' ἔλαψαν

[Apollod.] iii. 4. 4. Bergk, *P. L. G.* frag. adesp. 39. Ex Apollon. *de Synt.* p. 335, Bergk ad loc. et Schneider-Uhlig ii, p. 484 huc rettulerunt.

. . . Μελάμποδά θ' Ἁρπάλυκόν τε (Bergk, fr. adesp. 37. 4) 11

Cum Hyginus (fab. 181) hos inter Actaeonis canes numeret, Hiller secutus Ahrens. *Mus. Rhen.* vi. 234 hoc inter dubia Alcmanis fragg. 102 rettulit; sed non est Alcmanis. Totum locum om. E S: Gale versus ab Apollodoro alienavit. Duo poetas se invenire credit Wagner, coll. πρώτη (2) et πρῶτοι (10). Incipit [Apoll.]: τὰ ὀνόματα τῶν Ἀκταίωνος κυνῶν ἐκ τῶν οὕτω, ubi post τῶν titulus poematis excidisse videtur. Alia nomina Actaeonis canum tradunt Hyginus, Fab. 181, qui duo indices dat; Ov. Met. iii. 206 sqq., qui sequitur primum indicem Hygini; Pollux v. 47 = Aesch. frag. Τοξοτίδες 245: cf. Schol. A. K 29, ubi Λάκαινα pro Ἄλκαινα correxi, coll. Hyg. 181 ad fin. Bergk, *P. L. G.* Frag. adesp. 39 versus in metrum lyricum infeliciter redegit et Stesichoro tribuit: neque M. Schmidtio, *Mus. Rhen.* 1848, vi. 404 sqq., Eratosthenis Hermae tribuenti et Dinarchi epici poetae nomen sub verbis δὴ νῦν latere censenti consentiendum. Versus 5–10 quos hoc ordine exhibent codd. 10, 6, 5, 7, 8, 9, transtuli, et ita ut 5 et 6 cohaereant; sic quoque M. Schmidt: lacunam post 9 statui. Post v. 10 Apoll. habet

ἀργαλέων ὀδυνῶν ἄκος ἔμμεναι ἀνθρώποισιν,

quae verba attinent aut ad ea quae praecedunt de Chirone (Wagner), aut ad ea quae sequuntur de Dionyso (plurimi); Bergk cf. Paus. ix. 38. 5. Versum Panyasi trib. M. Schmidt, at non Kinkel 1 Δὴ νυν] οἱ δέ νυ Bergk: δίνευν M. Schmidt θῆρες codd.: corr. Scal. 2 τοῦ codd.: corr. Scal. τοῦ δάσαντος V: τοῦ δ' αὖ τό P: τοῦ δάσαντο Rabc: corr. Scal.: ἀάσαντο Bergk, olim ὠδάξαντο κρατεροῦ codd.: corr. Bergk: an κρατεροὶ πόδας, aut κρατεροί· πέλασ'? ἄρκενα codd.: Ἄρκυα Aegius: Ἄρπυια (Ov. Met. iii. 215) Scal.: Ἄργια Mitscherlich: πέλας [ ] et Ἀργεννή in sequenti versu Heyne 3 αὐτὴν Düntzer: ταύτην codd. 4 βανός codd.: corr. Mitscherlich ἄνετος codd.: corr. Gale: βαιὸς et Αἴνετος Bergk 5 ἐπέσσυθον codd.: corr. Scal. 6 καὶ τότ' initio versus codd., sed Pc V om. καὶ Ἀκταίω κτεῖναι scripsi, quanquam formam Ἀκταῖος testatur Choerobosc. Orthogr., Cramer, *An. Ox.* ii. 168 γέγονεν δὲ ἀπὸ τοῦ Ἀμφίων Ἄμφιος, ὥσπερ ἀπὸ τοῦ Ἀκταίων Ἀκταῖος: sed Choerob. Hilgard i. 273 ἀπὸ γὰρ τοῦ ἀκτὴ γέγονεν Ἀκταῖος καὶ Ἀκταίων non testis citandus est: ἀκταῖον κτεῖναι codd. plur.: ἀκταῖον κτεῖνε P Rc κούρης ins. M. Schmidt, nam Artemis, non Iupiter, instigatrix erat αἰνεσίῃσι codd.: corr. Heyne 7 τοὺς ⟨μακρόν ἐστ'⟩ ὀνομαστὶ διηνεκέως καταλέξαι scripsi, coll. Ov. Met. iii. 225 'Quosque referre mora est': καὶ τοὺς ὀνομαστὶ διήνεγκεν ὡς καταλέξῃ codd.: οὓς Aeg, ὀνομαστὶ διηνεκέως κατέλεξε luculente Scal. 8 πρῶτοι Aeg.: πρῶτος codd. μέλαν ἀπὸ codd.: em. Scal. 9 Σπαρτός Aeg. Scal.: παρτός codd. τ' ὦ vel δὲ ὢν ἀργός codd.: em. Bekker: Οὔραργος Heyne 10 οὗτοι δ' Ἀκταίω scripsi: οὗ ἀκταίον L: οὗ δ' ἀκταίου codd. plur.: οὗτοι δ' R: τοὶ δ' Ἀκταίωνος Scal. αἷμα δ' edd.: αἷμά τ' R ἔδαψαν codd.: em. Scal. 11 Ἀρπόλυκον codd.: corr. Bergk; Harpalycus, Hyg. 181

## 2 Epyllium Diomedis

Οἰῶν δ' ἐν σηκοῖσιν [

καί κέν τις ψαμμ̣ο̣

μηκῶν εὐτραφέ[ων
ἠδὲ κυνῶν πρ̣ο̣ς [
οὐρῆες μήλοισιν ε[
ἄρκτοι ὑπετρόμε[ον
τοὺς μὲν Τυδεΐδης Δ[ιομήδης
σταθμοὺς εἰσεκόμισσεν̣ [
οἳ μὲν ἀλωπεκιδεῖς· τ̣ο̣ύ̣[ς οἱ δωρήσατο Κάστωρ]
Σπάρτην ἀντομένῳ π̣[ερικαλλέος εἵνεκα κούρης]
Αἰνελένης, ὅτε [γ]ῆ̣ν Πέ[λοπος
τῶν ἂρ καὶ πρῶτ[ος γε]ν̣[εὴν φιτύσατο Κάστωρ
μίξας λαμπούροισιν ἀ[λωπήκεσσι Λακαίνας·
ἄλλοι δ' αὖ Λιβύην γλαυκ[
τερμερίης ἵνα φῦλον [
πολλοὶ δ' αὖ τριτάτης, το̣[ὺς]
Φλυγονίῃ, καὶ γαῖα με[
τοὺς μὲν ὀρὸν π̣ι̣[νοντας
παντὸς ἄρ' ἔσκε β̣ίοιο φ[ύλα]ξ
Φείδων Ἀρκεσίδης Αἰτώλιο[ς, ὅς ποτ' ὀπήδει
Τυδεῖ, εὖτε κανὼν Μέλα̣ν[ος κρατερόφρονας υἱοὺς
φεύγων Ἄργος [ἵ]κανε, [λ]ί̣π̣ε̣ν̣ [δ' ἐρατὴν Καλυδῶνα,]
ἐκ πάντων δμώων πλαγκτ[ὸν] βίον οἷος ὑποστὰς]
Τυδῆος δίοιο· τὸ καί τέ μιν ἔ[ξοχα Τυδεὺς]
τίεσκ' ἠδ' Ἄδρηστος· ἐπεὶ δ̣[
Ἄδρηστος, ὥς τίς τε φίλον [πατέρ', αὖτις ἐτίμα]
Τυδεΐδης, ὅς μιν βιότου ῥ̣υ[τῆρα πρόπαντος]
κάλλιπεν, εὖτε τὰ πρῶτα [μόλεν Θήβας ἀλαπάξων·]
ἦτοι ὁ μὲν προπάροιθε λι[θο
κώεα νηπέκτων οἰῶ̣[ν
συνραφέ' ἀλλήλοισιν ἐπ̣[
ὄφρ' ἀπὸ οἱ κρυερὴν στ̣ε̣ί̣[β]η[ν καὶ ῥῖγος ἀλάλκοι
ῥικνοῖσιν μελέεσι[ν] ἐπ̣ι̣σ̣[
εὖτε νέους κνώσσοντας̣ [ἐποτρύνειε κατ' αὖλιν
ἔργον ἐπέρχεσθαι· πολὺ δ̣[
ὕπνον νυκτ[ὸ]ς ἔριθον ἐτ̣[

Ἰφιάδης δ' ἴεν ἄγχι, κύν[ες δέ μιν ἀμφαγάπαζεν
οὐρῇσιν σαίνοντες, ε[
κτῆσιν ἐποπτευσ[
κνυζηθμῷ φράσθη ἐκυλ[
ἐ]ν δ' ἀνα[. . . .] ὀϊσσάμενος [
[λ]ευκοτερ [. . μὲν] ὀροῖο κ[ε]λαινὴ [
φί]λτατος ἀνδρῶν
ἐπ]έτασσε κιό[ν]τι
αὐ]τίκα δ' εἶπεν·
ἤγ]αγε τῆλ' ἀπὸ πάτρης
μ]ηδέ τι παιδὸς
τ]υτθὰ λίπωμαι
π]τύχας ἠδὲ πετάσσαι,
]ν δέ μ' ἔχει δέος, ὥς μιν ἄφυκτοι
πατ]ὴρ δέ οἱ οὐδὲν ἀρήγει
]ν ἀνήγαγον, ἠδὲ καὶ ἶσα
]ερον ἄλλο.
προ]σελέξ[ατο·] εἶπε δὲ τοῖα·
] ἐτώσιον ἐξαγορεύσω,
] ἀγαυῆς Ἰναχιώνης·
ἕτα]ροι χαλεπῇσι δαμέντες
κ]εῖνται γύπεσσι κυσίν τε·
]τί τοι ἄλλ' ἀγορεύω;
ἔνθ' ἀπέλασσεν
]ντι ἀληθείην ἀποειπεῖν
] σπεύδων δ' ἐς χῶρον ἱκάνω
[εἴ τι κακῶν ἔτι] μῆχαρ ἰδοίμεθα· πάντα δ' ὄλωλεν.
[ὣς ἔφατ' Ἰφιάδη]ς, ὁ δ' ἄρ' αὐτόθι κάππεσε πρέσβυς
[ἐν κονίῃ, χερσὶν] δ' ἐπαμήσατο μακρὰ [γ]εγωνώς.
δέ σφε πέ]δου ἀναείρυεν· εἶπε δὲ τοῖον·
]ις· ἐν βουλῇ δ' ἔσσετ' ὄνειαρ·
[ὁ πρέσβυς δ' ἀνάειρε κ]άρη καὶ ἐφέζετο ποσσίν·
τὸν ξεινὸν δὲ λαβὼν χ]ερὸς ἤγαγε δώματος εἴσω·
] οἵ τ' ἐνδόθι κεῖντο θυ[ρέ]τρου
]εστραφέσιν χ[α]λαροῖσιν·

]ν· ἐπεπλατάγησε δὲ χεῖρας.
τί κακῶν] ἔτι λείπεται; ἄστεος ἐκτὸς
ο]ὐκ ἀμβολίης τάδε ἔργα·
]χε πυρὰ βρόμον· αὐτὰρ ἔγωγε
[δείδια μὴ κτῶ]μ̣' ἄλγος ἐπ' ἄλγει, καὶ τόδ' ἴδωμαι
[λυγρότατον πάν]τ̣ων ἐνὶ γήρ̣α̣ϊ̣· ἀλλὰ θανόντα̣
]ν ἴδω Διομήδεος υἷα·
]ν προσεφώνεεν Ἶφιος υἱὸς
ἀ]πεύχεο καί κεν ἐκεῖνον,
ὅ]πω̣ς̣ μ̣ὴ [π]ά̣μπαν ὄληται
α]ἶσχος δ' ἑτάροι̣[σ]ι̣ [γ]έ̣ν̣ηται·
]ρ̣ην κ̣[ε]φαλὴν α̣[. . . .] ἔξοχα πάντων
ρ̣αν· ἐ[π]ὴν τόδε [. . . .]ν ἵκηται.

*Berlin. Klass. Texte*, v. 1. 68 sqq. Diomedes Pheidona Arcesidem Aetolum (20) vilicum fundo prope Argos (ita Körte, non Calydona, ut censent edd. Berol.) suo praeposuerat, et filium parvum tutelae eius commiserat: Pheidoni nuntiat Iphis cuiusdam filius (37) Argos ab hostibus esse captos (57, 58, 63), et puerum periculis obiectum (78). Invenit Pheidona vellera ovium consuentem (30), et canes eximiae stirpis Castoreae (1–15) qui circum villam vigilant, amice excipiunt. Inde cum Pheidone colloquitur. Wilam. res novas Argis factas esse censet; contra Körte (*Archiv f. Papyr.* v. 4. 538) recte citat Ephorum (ap. Strab. x. 462) qui Alcmaeonida sequitur (Immisch, Bethe, *Theban. Heldenl.* 130 sqq., et s. v. 'Alcmaeonis' in Pauly-Wiss.) Diomede in Aetoliam Oenei hostes ultum profecto, Ἀγαμέμνονα ἐν τούτῳ τοῖς Ἀργείοις ἐπιθέμενον κρατῆσαι ῥᾳδίως, τῶν πλείστων τοῖς περὶ Διομήδη συνακολουθησάντων. Tydei fuga, vv. 21, 22, in Alcmaeonide narrata est; Apollod. 8. 5. 2; Kinkel p. 77 Nomen poetae ignotum, sed apud Eustath., Γ 39, qui dum nomen Δύσπαρις explicat, Αἰνόπαρις ex Eur. Hec. 945 profert, his verbis additis ὅθεν ἀρχῆς ἐνδοθείσης καὶ Αἰνελένης ἕτερός τις ἔφη ἀντὶ τοῦ αἰνὴν Ἑλενήν, mentionem poematis invenit Immisch. Incuriae talis Eustathium arguit Pearson, Soph. *Fragg.* vol. i. lxvi. Igitur vocabulum Αἰνελένης poetam Euripide recentiorem esse testatur (vid. n. ad v. 11). Aetatem Alexandrinam sapiunt λάμπουρος (13), ἀμβολίη (74), ἀναείρυεν (66) ubi ἀν-ερύω et ἀν-αείρω contaminata sunt), Ἰναχιώνη (56), cf. Callim. H. iii. 254, add. n. ad ἀνήγαγον (52), προσελέξατο (54) 'affatus est' Apollonii Rhod. et Theocriti est. Quod ad argumentum attinet, Alcmaeonidi tribuere speciem aliquam haberet, nisi stilus vetaret; de qua re Körte, *Archiv f. Papyrusforschung*, v. 4. 538, recte iudicavit: neque vetustis Epicis, neque recentioribus velut Quinto Smyrnaeo, propter nervos et vigorem; neque Antimacho σπονδειάζοντι, sed ineuntis Ptolemaeorum imperii temporibus tribui oportere censent edd. Berol.; licet tamen credere multum Alcmaeonidi deberi, ut fabula Herculis, [Theocr.] xxv, ex Heracleia nescioqua pendet. Narratio vivida, simplex, celeris. Pheidon alter Eumaeus est, velut humiles curas depingere amant Alexandrini (29 sqq.). Pap. circa 400 p. C. scripta est. Passim suppleverunt edd. Berol. 2 Nempe ψαμμακόσια πρόβατα, edd. Berol. 3 μηκῶν] fort. pro μηκάδων edd. Berol. 9 exspectes ἀλωπεκίδες, quae etiam ἐβῆνοι vocantur (Hesych.) 11 Cf. Πτωχελένη, Athen. xiii.

585 B 13 supplevi in *Classical Review*, xxii (1908), p. 177 ἀλώπεξιν κύνας ἀργούς K. F. W. Schmidt, *Woch. Kl. Phil.* 1908, 291 15 τερμερίης 'portentosae' edd. Berol. 17 Φλυγονίῃ] Steph. Byz. s. v. Φλυγόνιον· πόλις Φωκίδος· λέγεται καὶ θηλυκῶς Φλυγονία 18 supplevi 21 Apollod. i. 8. 5. 2 29 λιθο] velut λιθοδμήτου προπύλοιο edd. Berol. 31 π vel ρ: ἐπ[ειγόμενος?] 36 ἐριθόν pap., sed proparoxyt. Herodian. i. 146 L 38–45 ita supplevit Ludwich, *Berl. Phil. Woch.* 1907, 490 sqq.:

ἕποντο δ' ἄρ' ἠύτ' ἄνακτι
κτῆσιν ἐποπτεύσοντι, καὶ ἄλλῳ μὲν μέγα χάρμα
κνυζηθμῷ φράσθη, ἐκυλίνδετο δ' ἐν κόνι ἄλλος·
ἐν δ' ἀνάθημ' ('effigiem venustam') ὅ γ' ὀϊσσάμενος κούρην ἐνόησε
λευκοτέρην μὲν ὀροῖο, κελαινὴν δ' ὄσσε φαεινώ,
ἥ τε γυναιξί τ' ἔην καὶ φύλῳ φιλτάτη ἀνδρῶν
καὶ τότ' ἐνὶ κλισίῃ κατὰ λῖτ' ἐπέτασσε κιόντι.

Sed virginem adesse recte negat Schmidt.

τῆς δὲ πατὴρ ἠσπάζετ' ἰὼν ξένον, αὐτίκα δ' εἶπεν

40 ἐκυλ[ pap.: ἐκύλισε edd. Berol.: fort. σκυλάκων 43 φί]λτατος edd. Berol.: λτατη (ς sscr.) pap. 44 χεῖρ' ἐπέτασσε Schmidt, coll. ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσσας Δ 523, Ν 549 49 valvas patefacere 50 κρατερὸν δέ μ' ἔχει Schmidt 51 ἀμφὶς δεσμοὶ ἔχουσι, πατὴρ δέ Schmidt 52 ἀνήγαγον, 'educavi', neque Homericum neque Atticum (edd. Berol.) 54 τὸν δ' αὖτ' Ἰφιάδης Schmidt 57 πάντες ἐκεῖ λύπησ' idem 60 ἔνθ' ἀπέλασσεν] vel ἔνθα πέλασσεν edd. Berol. 66 nomen disyllabicum filii desiderant edd. Berol. 66–68 sqq. ita suppl. Ludwich:—ὃς δὲ πεσόντα πέδου 67 θυμὸν ἐὺν σὺ λάβοις 68 ὡς δ' ὁ γέρων ἀνάειρε κάρη καὶ ἐφέζετο, ποσσὶν 69 ὀψὲ στὰς ξεῖνον χερὸς (ἀνστὰς δὲ ξεινὸν Schmidt) 70 κλεῖε δ' ὀχῆας ἱείς, (εὖ δ' ἔπ' ὀχῆας ἔθηκ' Schmidt) 71 ἠδ' ἀνέδησε λίνοισι κενεστραφέσιν (ἵζετο δ' ἐν δίφροις ἰτεστραφέσιν Schmidt) 72 τὸν δ' αὖτε προσέειπεν (ἷζε δὲ καὶ τὸν ξεῖνον Schmidt) 78 τεθναίην πρὶ]ν ἴδω edd. Berol., sed vix tolerabilis constructio; an ποίοις ὀφθαλμοῖσιν;? 80 sqq. ita suppl. Ludwich:—αἰνὸν τοῖον ἔπος, φίλ', ἀπεύχεο 81 δέξε' ἐϋφρονέων σύγ' (vel δέξεαι εὐφρονέων) 82 ἐχθροῖσιν προδοθείς, αἶσχος 83 αἴδεο δὲ σφαλερὴν κεφαλήν, λάβε δ' 84 οἰκτρότατον κατ' ἄρουραν, ἐπὴν τόδε φῦλον ἵκηται

## 3 Telephi Epyllium (?)

Recto

[Ἐ]ξαπίνης ἐπέδησεν ἀνωΐστοισι κλάδοισιν,
[οὔ] κεν ἔτι ζώοντες ἐς Ἴλιον ἦλθον [Ἀχαιοί,
[ἔ]νθα δέ κεν Μενέλαος ἐκέκλιτο, ἔν[θ' Ἀγαμέμνων
[ὤ]λετο, καὶ τὸν ἄριστον ἐν Ἀργείοις [Ἀχιλῆα
Τήλεφος ἐξενάριξε πρὶν Ἕκτορ[ος ἀντίον ἐλθεῖν.
Ἀλλ' ὅπασόν μοι καὶ τ[ῷ] ἀμυνέμεν ε[
χραισμῆσαι δέ μοι α[. . . . .] . α[
Ἦ καὶ ἀπ' Ἀργείοι⟨ο⟩ λάχεν γέν[ος] Ἡρακλῆος
[Τ]ήλεφον ἐν θαλάμοις πολέμων ἀπάνευ[θε . . . .
[κλ]ῦτέ μοι ἀθάνατοι, [Ζ]εὺς δ[ὲ π]λέον, ὃν γενετῆρα
Δαρδάνου ἡμετέροιο καὶ Ἡ[ρα]κλῆος ἀκούω,

καὶ τούτων φράσσασθε μ[αχῶ]ν λύσιν, ἴσα δὲ μύθοις
[σ]υνθεσίῃ Τρώεσσι καὶ Ἀ[ργ]είοισι γε[ν]έσθω.
[ο]ὐδὲ ⟨γὰρ⟩ Ἀργείους θανε[έ]ιν [ἀρ]ήσομαι αὐτὴ
ξανθοῦ φοινίξαντες ε [. . . .] μέ[γα] χεῦμα Καΐκου
Τηλέφου ειφι το [. . . . . . . . οὐ]κέτι θωρηχθέντες
[Ζεῦ] τῆλε κλύε τ[αῦτα] [. . . . .] καὶ [οὖ]ρον Ἀχαιῶν
[. . . . . .]υσαι ἔχειν π[. . . . . .]ζεσκον Ἀχαιοὶ
[. . . . . . .]εται μεσσ[. . . . . .] ἐΰσ[κ]ιον ελλ[
[. . . . . . .]τος με .[. π]ολύς· εἰ δέ με [. . .].
[. . . . . . . . . . . . . . . .]ο σύ μοι παρὰ μηι[
. . . . . . . . .

Verso: eadem manu scripta sequuntur:

[xii litt.] βιότουσαν [.] δε . . ν ἐν ὥραις
[xii litt.] . ν πόντον χθόνα τ', ἠδὲ νόησε
[xiii litt.] ως οἶδμα πολυπλάγκτοιο θαλάσ[σης
[xiii litt.] . τ [.] . . θετο νηῒ θαλάσσῃ
[xvii litt.] σαι καὶ ποσσὶν ἑτοίμῃ
[xiii litt.] . . ἐπὶ χθονὸς (ε)ἰθύσαιμι
[xiii litt.] σα[. . . . . .]ν ἔς τινα χῶρον
[. . . . . . .] . . . . . [. . . . .] . [. .] ι [. . ]τος ἠχὴν
[. . . . . . .] . . . υ . . ν [.] . . . [.]νος [. .]α πόντου
[.] . [.]ινο . [.]ν . . οι [. .] . [.] τοσ . [.] Ὠκεανοῖο
νήπιος ὃ[ς .] ελαε [. . .] . [. κ]ατ[ὰ] θε[. .]ον ὁδεύει
δούρασι π[ον]τοπό[ρ]οι[σ]ι τ[. . .]ε[.] . ος [ο]ὐτιδανοῖσι
πῆ νυν .[.] λι . . . δ [. .] . [. . .] μ . . λον ἕλοιτο θάλασσα[ν
ἔμπεδος [.] . . . . νη [.] . ϊ [. . . .] α [.] ἀσ[τυ][φ]έλικτος
ἰχθύβοτο[ς] κτα . . . . . . . [. . . . . .] ῥεέθρου
ποσσὶν α [. .] . . . . [. . . . . . . . . . . .] τ ἀμείνων
τίς μεδέ[ω]ν . . . [. . . . . . . . . . . . .] θάλασσαν
ναιειν του [. . .] ιμ [. π]ολὺ [. . . . . .]νον ἀνθρώποι[σιν]
κ[. .]τι[.] . [. .] τις ἐστὶν[. . . . .] [μ]ηδὲν ἀρήγε[ι]
[. .] . [. . . . . .] βυεισδ . . [. . . . . .]ειθεδ[
[xi litt.] σα . . τα [
[xi litt.] υθ [.] φ . . [
. . . . . . . . .

περδάνῃ Pal.: Δαρδανίῃ Dalecamp: λάρνακί νιν δὲ Ruhnk.: ἀδρανίῃ Kaibel; verbum e Σάρδεις tractum dederunt alii, velut Σαρδιακὴν Mein., -ανὴν Herm. 44 καλλιων αἴζαον διηλθεν A: κλαίων αἰάζων τ' Ilgen δ' ἦλθεν Casaub. Nomen loci latere suspicati sunt edd. velut καλλίναον Ξάνθον Paldamus; Αἰζάνιον Bergk (sed ᾱ producitur); Ἀζειῶν Harberton, cf. Steph. Byz. s.v. Ἀζειῶται· ἔθνος τῆς Τρῳάδος, ὡς Ἑλλάνικος ἐν τοῖς περὶ Λυδίαν λέγει· ἔοικε δὲ τὸ πρωτότυπον Ἄζεια εἶναι· λέγεται δὲ καὶ Ἀζειοί. In tributorum catalogis Ἀζειοί et Ἀζειῆς dicuntur 45 ἄκρον ἐς A: ἄκραν Pal.: ἄκρον ἔσω Mein.: ἄκων Schweigh.: fort. ἄκτιον Kaibel: ἄκρην Herm.; an μακρὴν, vel εἰς ἐρατὴν? cf. Mimn. ix. 3 εἰς ἐρατὴν Κολοφῶνα. Sed cum Κολοφών collem significet, congruit ἄκρην ἐλέγων Hecker 46 ἱεράς A: corr. Mus.: γηράς Mein.; cf. Plut. Consol. ad Apoll. 106 B ἐχρήσατο δὲ τῇ τοιαύτῃ ἀγωγῇ καὶ Ἀντίμαχος ὁ ποιητής· ἀποθανούσης γὰρ τῆς γυναικὸς αὐτοῦ Λυδῆς, πρὸς ἣν φιλοστόργως εἶχε, παραμύθιον τῆς λύπης αὐτῷ ἐποίησε τὴν ἐλεγείαν τὴν καλουμένην Λυδήν, ἐξαριθμησάμενος τὰς ἡρωικὰς (fort. ἐρωτικὰς Hecker) συμφοράς, τοῖς ἀλλοτρίοις κακοῖς ἐλάττω τὴν ἑαυτοῦ ποιῶν λύπην 47 cf. Alc. 56 δέξαι με κωμάζοντα, Pind. Ol. iv. 8. Possis scribere πόσοις ἀνεδήσατο κώμοις, 'quot comissationibus caput redimiverit', cf. Pind. N. xi. 36 κωμάσαις ἀνδησάμενός τε κόμαν 49 ὑμνῶν A: corr. Pal. et Mus. Temporum ordinem Hermes. non servavit; cf. Athen. xiii. 599 C ἐν τούτοις ὁ Ἑρμησιάναξ σφάλλεται συγχρονεῖν οἰόμενος Σαπφὼ καὶ Ἀνακρέοντα, τὸν μὲν κατὰ Κῦρον καὶ Πολυκράτην γενόμενον, τὴν δὲ κατ' Ἀλυάττην τὸν Κροίσου πατέρα. Χαμαιλέων δ' ἐν τῷ περὶ Σαπφοῦς (fr. 10 Koepke) καὶ λέγειν τινάς φησιν εἰς αὐτὴν πεποιῆσθαι ὑπ' Ἀνακρέοντος τάδε (fr. 14 Bergk[4])·

Σφαίρῃ δεῦτέ με πορφυρέῃ | βάλλων χρυσοκόμης Ἔρως | νήνι ποικιλοσαμβάλῳ | συμπαίζειν προκαλεῖται. | Ἡ δ' (ἐστὶν γὰρ ἀπ' εὐκτίτου | Λέσβου) τὴν μὲν ἐμὴν κόμην | (λευκὴ γάρ) καταμέμφεται, | πρὸς δ' ἄλλην τινὰ χάσκει.

Καὶ τὴν Σαπφὼ δὲ πρὸς αὐτὸν ταῦτά φησιν εἰπεῖν (fr. 26)·

κεῖνον, ὦ χρυσόθρονε Μοῦσ', ἔνισπες
ὕμνον, ἐκ τᾶς καλλιγύναικος ἐσθλᾶς
Τήιος χώρας ὃν ἄειδε τερπνῶς
  πρέσβυς ἀγαυός.

Ὅτι δὲ οὐκ ἔστι Σαπφοῦς τοῦτο τὸ ᾆσμα, παντί που δῆλον. Ἐγὼ δ' ἡγοῦμαι παίζειν τὸν Ἑρμησιάνακτα περὶ τούτου τοῦ ἔρωτος. Καὶ γὰρ Δίφιλος ὁ κωμῳδοποιὸς πεποίηκεν ἐν Σαπφοῖ δράματι (ii. 564 K) Σαπφοῦς ἐραστὰς Ἀρχίλοχον καὶ Ἱππώνακτα. Lusisse poetam in verbis ἀηδών et ἀοιδός censent Ellenberger et Fraenkel; fort. cf. Hes. Op. 203, 208 51 ἐφημίλλητ' Ἀνακρείων scripsi: εφωμιλησανακρεων A: ἐφωμίλησ' Ἀνακρείων Mus.: Ἀνακρείων ἐφίλησεν et ἐφωμίλησεν Ἀνακρέων dubitanter Herm., sed hoc verbum cum dativo non construitur: ἐφημιλλήσατ' Ἀνακρέων Bergk 52 τελλομένην, velut lunam inter sidera, Hartung Λαισβιασιν A: corr. Mus. 54 οἰνηρῇ δειρῇ Kaibel: οἰνηρὴν δοῦριν A οὔρει Emperius: δειρῇ Bergk 55 εὔυμνον Paldamus: εὔοικον Mein., cf. εὐκτίτου Λέσβου, Anacr. 14. 5 Μύσιον Wensch: μυριον A: νυ ῥίον Ludwich: ὁμούριον Herm. λέκτρον A: corr. Herm. 57 Ἀτθὶς] αὖθις A: corr. Ruhnk. πολυπριωνα κοδώνην A: corr. Ruhnk. 58 χοροστασίας A: corr. Mus., vid. not. prox. 59, 60 ἔρωτ' ἀγειραιθειαρειδος inde hiatum A: Θεωρίδος latere agnovit Lennep, coll. Ath. xiii. 592 A Σοφοκλῆς δ' ὁ τραγῳδοποιὸς ἤδη γέρων ὢν ἠράσθη Θεωρίδος τῆς ἑταίρας ... τῆς δὲ Θεωρίδος μνημονεύει λέγων ἔν τινι στασίμῳ οὕτως (Fr. 765 Pearson)· Φίλη γὰρ ἡ Θεωρίς ἐγέραιρε Θεωρίδος Burges Mein., sed displicet caesura: γήρᾳ latere videtur. Sed fabulam de Theoride commenticiam famosamque esse suspicatur Pearson, qui [γὰρ ἡ] seclusit, et verba ad Theoridem ilocaliter relata esse censet 62 ἐκ συνοχῶν corruptum: σπανίων ἐκ συνόδων Herm., αἰσχρολογῶν Jacobs, et ἐξ ὀνύχων, ἐξ ὑλακῶν 'propter linguam latrantem' Headlam 66 αἰγείων A, parti-

cipium latere suspicatur Kaibel: ἀργεύων Headlam. Nomen muliebre dedere edd., velut Αἰγειώ, Αἰγειρώ, Ἀργειώ, Mein.: Αἰγαίαν μεθέπων Hartung: Αἰγάων Bergk (Αἰγαί urbs Macedoniae) μέθεπε δ' A: μέθεπεν δ' Mus. ἀρχελαωι A: corr. Mus. 67 δὴ add. Schweigh.: om. A: τοι Mus.: καὶ Harberton: σοι Bergk Εὐριπίδη Schweigh. Mus., Harberton: Εὐριπίδη A, Bergk, sed praeter Leontium neminem adloquitur Hermes 68 Ἀρριδίου vel Ἀρριβίου Headlam: ἀμφὶ βίου A: Ἀμφιβίου Herm.: ἀμφὶ δρίος Harberton ἀντιάσαντα A: corr. Mus. Cf. Satyrum, Vit. Eurip., *Oxyrh. Pap.* ix, no. 1176, col. xx, Supplementum Eurip., Arnim, ὁ μὲν Εὐριπίδης ἔτυχεν ἀπωτέρω τῆς πόλεως ἐν ἄλσει τινὶ καθ' αὑτὸν ἐρημαζόμενος, inde de canibus narratur. Singula ab aliis varie narrantur (vid. Γένος Εὐριπίδου, Schwartz, Schol. Eurip., Suid. s. v. Εὐριπίδης, Aul. Gell. xv. 20, Adaeum in *Anth. Pal.* vii. 51), velut Suid. Lysimachum canum regiorum magistrum, Paroemiographi s. vv. Προμέρου κύνες Promerum servum Archelai canes immisisse narrant; propter odium ἔκ τινων διαβολῶν πρὸς τὸν ἑαυτοῦ δεσπότην conceptum; Suidas, ὑπ' ἐπιβουλῆς Ἀρριβαίου τοῦ Μακεδόνος καὶ Κρατεύα τοῦ Θετταλοῦ ποιητῶν ὄντων καὶ φθονησάντων αὐτῷ, πεισάντων τε τὸν βασιλέως οἰκέτην τοὔνομα Λυσίμαχον δέκα μνῶν ἀγορασθέντα τοὺς βασιλέως οὓς αὐτὸς ἔτρεφε κύνας ἐπαφεῖναι αὐτῷ. Οἱ δὲ ἱστόρησαν οὐχ ὑπὸ κυνῶν, ἀλλ' ὑπὸ γυναικῶν νύκτωρ διασπασθῆναι πορευόμενον ἀωρὶ πρὸς Κρατερὸν τὸν ἐρώμενον Ἀρχελάου· καὶ γὰρ σχεῖν αὐτὸν καὶ περὶ τοὺς τοιούτους ἔρωτας· οἱ δὲ πρὸς γαμετὴν Νικοδίκου τοῦ Ἀρεθουσίου: Aul. Gell. 'canibus ab aemulo quodam immissis' 69, 71 ἀνεθρέψαντο A: corr. Herm. τιθῆναι non cum Βάκχου, sed cum Μοῦσαι constr., et παιδευθέντα cum ταμίην; nolim igitur Μούσαις παιδευθέντα Emperii, et παίδευσάν τε Kaibelii et τὸν λωτοῦ π. τ. Meinekii propter omissum augmentum, vid. n. ad v. 8 βακχείου Harb. 72 Ὀρτυγίῃ couat: ὠρυγῇ A (quod clamore [aut civium aut Dionysii] perculsum significare volunt edd.). Ita Orige corruptum esse ex Ortygi(a)e in codd. Propert. iii. 22. 15 docet Bergk. 'In palatio Dionysii Ortygiae Syracusanae' interpretor. Ὀρτυγίην Bergk, *sc.* Ephesum, narrante Suida Philoxenum illic obiisse. ταύτης διὰ πτόλεως, Colophonis: πτόλιος Mein. 73 γιγνώσκει καὶ οὖσαν A: γιγνώσκεις Dalecamp ἀΐουσα Ruhnk. Γαλατείης A: corr. Weston: nimirum Polyphemus pavit oves, non Galatea 74 μηλίοις A: corr. Heringa oves Galateam voce celebrant, ut Varum myricae, Verg. Ecl. vi. 10; cf. Ar. Plut. 292 sqq. πρόγονοι dicuntur ut in ι 221 χωρὶς μὲν πρόγονοι 75 τὸν A: corr. Casaub. 76 χάλκειον Κῴῃ Wilam. θῆκαν A, sed θῆκαν ὑπὸ post θῆκαθ' ὑπό, 74, suspicionem movet; scribendum esse στῆσαν recte monent Hecker et Meineke; ἱστάναι χαλκοῦν et sim. Graeci dicunt, non τιθέναι. Confert Bergk ipsius Philetae verba ap. Ath. v. 192 E, frag. 14 sup., θρήσασθαι πλατάνῳ γ(ρ)αίῃ ὕπο 77 Βαττίδα Scal. 78 τρυόμενον Herm.: ῥυόμενον A, quod cum περί (tmesi) servat Ellenberger, de glossis interpretatus quas collegit et illustravit Philetas; cf. Athen. ix. 401 E κινδυνεύεις διὰ ταύτας τὰς φροντίδας (sc. εἰ ἡ χρῆσις μὴ εἴη τῶν ὀνομάτων παλαιά) ὥσπερ ὁ Κῷος Φιλίτας ζητῶν τὸν καλούμενον ψευδολόγον τῶν λόγων, ὁμοίως ἐκείνῳ διαλυθῆναι. Ἰσχνὸς γὰρ πάνυ τὸ σῶμα διὰ τὰς ζητήσεις γενόμενος ἀπέθανεν, ὡς τὸ πρὸ τοῦ μνημείου αὐτοῦ ἐπίγραμμα δηλοῖ·

> Ξεῖνε, Φιλίτας εἰμί· λόγων δ' ὁ ψευδόμενός με
> ὤλεσε, καὶ νυκτῶν φροντίδες ἑσπέριοι,

cf. Ath. xii. 552 B 79 ἐκτήσαντο Porson: ἐκτίσσαντο Bergk, sed cf. Hdt. ii. 35 ἐστήσαντο ἤθεά τε καὶ νόμους 80 σκοτίην Heinrich, coll. Luc. Bis Accus. 16 ῥημάτια σκότια καὶ πολλῆς φροντίδος ἀνάμεστα: σκολιὴν A: error e v. 63 ortus est 81 αὐτὴ] λιτὴ vel λεπτὴ Mein.: αὔη Herm. πυκνὰ Porson: πικρὰ A λύγοις Bergk. Stoicorum sunt *laquei*, Cic. de Or. i. 43; Tusc. v. 76; *plagae* Chrysippi, Cic. Fat. 7, Acad. ii. 147 82 καὶ δεινὴ A: καίπεινὴ Harberton κῆδος A: κῦδος Pal., cf. κυδίστην ἀρετὴν Theogn. 904: κῦρος Hecker, 'fabulis confirmata'. Cf. Prodici fabulam Xen. Mem. ii. 1,

et Hesiodi Apologum, Op. 285, Simon. 58, Sil. Ital. xv. 20 sqq., Qu. Smyrn. v. 50 sqq., xiv. 195 sqq., quae in Cebet. Tab. 1 *μῦθοι* vocantur 83 *οὐδ' οἶδ' αἰνὸν* Weston : *ουδοιδενον* A : *οὐδ' οἳ δεινὸν* Mus. : *οὐδ' οἳ κεῖνον* Bergk 84 *μαινομένου* Anon. Londin. : *φαινόμενον* A : *φθανόμενοι* Herm. 86 *καμψὰ* Heinrich 87 *εὑράμενον* A : corr. Mus. 88 *βαιῇ* Mus. : *βιης* A : *γαίης*, i. e. *ὅσον κ. γαίης* Kaibel *ἐνὶ* Dindorf : *ἐν* A *ἀποπλασσάμενον* scripsi, idem Harberton : *ἀποτασσόμενον* A : *ἀπομαξάμενον* Kaibel 89 *οιωιδεχλειημενον* A, explicuit Heringa post Mus. *εξοχονεχρηνπολλων* expl. Porson 90 *δανθρωπων* A : corr. Porson *σοφηι* A : corr. Mus. 92 *ἐξεπόνησεν ἀνίας* A : corr. Mus. : *ἐξεσόβησ'* vel *ἐξεκόρησ' ἀ.* Ilgen : *ἐξεποίησ' ἀ.* Bergk : *ἐξεφόρησ' ἀ.* Ruhnk. 94 *λόγῳ* A : corr. Heringa, Ruhnk. *εὑράμενος* A : corr. Dind. 95 *δὲ* ins. Hermann qui et *ἔσω* scripsit : *εἴσω* A 96 *δεινὸν* A : corr. Ruhnk. *ἀπιδανῆς* A; quod recte interpretatus est Harberton 'Peloponnesiacam', coll. *'Απιδανῆας* Rhi. 13. 3. Arcad. *ἐπιτομὴ τῆς καθολ. προσῳδίας* p. 73. 16 (M. Schmidt) quae inter vocabula in *-ανος* exeuntia nomina et adiect. enumerat, interpretatione non addita *ἀπιδανός* dat; post quae Lentz, Herodian. i. 179, addit e Steph. Byz., p. 105, 6 M *ποταμὸς τῆς Τρῳάδος ἐκβάλλων εἰς τὴν ἑσπέριον θάλασσαν* : *ἠπεδανῆς* Burges : *ἀπιθάνης* Herm. coll. Athen. xiii. 570 BC, 585 D 98 corruptus versus. *οὐδὲ μένων* Dobree : *οὐδαμινὴν* Schweigh. *ἐξ 'Εφύρης ἐβίω* Pors. : *εὐλιμένων ἐξ 'Εφύρης ὁρίων* Herm., coll. Athen. xiii. 588 E *'Αρίστιππος δὲ κατ' ἔτος δύο μῆνας συνδιημέρευεν αὐτῇ ἐν Αἰγίνῃ τοῖς Ποσειδωνίοις* : *οὐδαμινόν τ' ἐξεφόρησε βίον* Harberton. Fort. in *ουδαμενον* latet glossema *εὐδαιμονῶν* : *ἡδυπαθεῖ δ' ἐξετρύφησε βίῳ* olim scripsi; cf. Athen. xiii. 544 D *διέτριβεν δ' ὁ 'Αρίστιππος τὰ πολλὰ ἐν Αἰγίνῃ τρυφῶν*

*Poetae*, 1–78

1–14. Orpheus.

. . . Qualis erat Argiope, quam carus Oeagri filius, Thracia instructus cithara, ex Orco reduxit. Terram diram et inexorabilem advectus est, ubi Charon defunctorum animas in publicam cumbam compellit, et in margine lacus flumen per magna harundineta trahentis vocem procul intendit. Tamen Orpheus ad undam solus secum iter faciens citharam pulsare ausus, omnigenos flexit deos, et Cocytum sub superciliis ridentem, atque adeo canis horrendi aspectum tulit, vocem et obtutum trucem tanquam igni acuentis, et tribus capitibus formidinem intentantis. Inde canendo magnis regibus persuasit ut Argiope spiritum dulcis vitae reciperet.

15–20. Musaeus.

At neque Musaeus, Lunae filius, Gratiarum antistes, Antiopen inhonoratam reliquit, quae ad Eleusinis oram multos arcanorum oraculorum laetos clamores mystis edebat, dum per Rarium in Cereris honorem sacerdotem deducit: celebrata est Antiope etiam in Orco.

21–26. Hesiodus.

Etiam Boeotum Hesiodum omnis doctrinae custodem affirmo relicta domo Helicona, Ascraeorum vicum, advenisse amantem, unde Eoeam Ascraeam ambiens, multa perpessus, omnes Catalogorum libros conscripsit, dum a puella 'principium' puellae 'desinit'.

27–34. Homerus.

Ipse vero cantor divinus ille Homerus, quem poetarum omnium deum suavissimum sors Iovis protegit, Penelopes prudentis gratia, quam propter multa perpessus insulam exiguam incoluit, longe a patria spatiosa remotus, et Icarii Amyclaeque gentem et Spartam celebravit, sua mala memorans.

35–40. Mimnermus.

Mimnermus autem qui multa perpessus suavem sonum spiritumque pentametro elicuit, Nannus amore ardebat, et senilis calami capistro vinctus, cum Examye saepe comissabatur, et Hermobium semper gravem vexavit et Phereclem inimicum quod tales versus redderet perosus.

41–46. Antimachus.

Antimachus autem Lydae Lydiae amore percussus Pactoli fluvii flumen adiit et . . . mortuam sub arida terra lamentans posuit, et relicta . . ., altam Colophonem petiit, et ab omni labore requiescens libros sacros lamentis complevit.

47–50. Alcaeus.

Porro quotiens Alcaeus Lesbius convivatus sit, dum amabile Sapphus desiderium canit, nosti; lusciniam autem cantor ita amabat, ut virum Teium carminum disertia vexaret.

51–56. Anacreon.

Namque illi mellitus Anacreon illi multis cum Lesbiis incedenti cum aemulatione adspiravit, et relicta modo Samo, modo patria ipsa, dorso vitifero supina, Lesbum vini feracem petebat.

57–60. Sophocles.

Scis autem quomodo Apis Attica tumuloso Colono relicto Bacchum et Theoridis amorem in tragicis canticis cecinerit, (?) quem Iuppiter Sophocli seni dedit.

61–68. Euripides.

Dico autem et virum illum semper cautum et propter . . . odium apud omnes mulieres consecutum, curvo percussum Cupidinis arcu nocturnos dolores non posuisse, sed Macedoniae omnes angiportus . . . Archelai cellariam sectatus oberravit, donec Euripidi invisis canibus Arrhibii occurrenti deus exitium repperit.

69–74. Philoxenus.

Virum quoque e Cytheris oriundum, quem altrices Musae fidissimum Bacchi et tibiae esse custodem doctum (*sc.* Dithyrambographum) nutrierunt, Philoxenum, nosti quo pacto Ortygiae perculsus per hanc urbem iverit; namque ingens desiderium audiisti quod ipsis primogenitis agnis Galatea subiecit.

75–78. Philetas.

Porro cantorem illum nosti, quem Eurypyli cives Coi aeneum sub platano posuerunt, Philetam, Bittidem alacrem canentem, et propter vocabula omnemque sermonem emorientem.

*Philosophi.* 79–98.

Porro quicunque mortalium Sapientiam obscuram scrutati durae vitae rationem instituere, quos ipsa Sollertia in discriminum tenuitatibus, et fabulosa Virtus, severa et sollicita, astrinxit, ne hi quidem dirum insani Amoris tumultum aversati sunt, sed colla gravi aurigae submisere.

85–90. Pythagoras.

Qualis Theanus furor Pythagoram Samium devinxit, qui spirarum geometricarum concinnitates invenit, et quantum orbem Aether mundo circumdet, in exigua sphaera totum effinxit;

91–94. Socrates.

Et quali ignis vementia Cypris irata Socratem calefecit, quem hominum principem in sapientia esse Apollo respondit. In domo Aspasiae versatus e profundo animo curas leviores egessit; neque vero se amore expediit, quamquam multos disceptationum exitus invenerat.

95–98. Aristippus.

Virum autem Cyrenaeum gravis amor intra Isthmum traxit, cum Laidem Peloponnesiacam amavit acer Aristippus, et omnes disputationes versatus est, vita voluptaria diffluens (?).

## 8

Paus. vii. 17. 5 *Δυμαίοις δὲ ἔστι μὲν Ἀθηνᾶς ναὸς καὶ ἄγαλμα ἐς τὰ μάλιστα ἀρχαῖον· ἔστι δὲ καὶ ἄλλο ἱερόν σφισι Δινδυμήνῃ μητρὶ καὶ Ἄττῃ πεποιημένον. Ἄττης δὲ ὅστις ἦν, οὐδὲν οἷός τ' ἦν ἀπόρρητον ἐς αὐτὸν ἐξευρεῖν. Ἀλλὰ Ἑρμη-*

σιάνακτι μὲν τῷ τὰ ἐλεγεῖα γράψαντι πεποιημένα ἐστὶν ὡς υἱός τε ἦν Καλαοῦ Φρυγός, καὶ ὡς οὐ τεκνοποιὸς ὑπὸ τῆς μητρὸς τεχθείη· ἐπεὶ δὲ ηὔξητο, μετῴκησεν ἐς Λυδίαν τῷ Ἑρμησιάνακτος λόγῳ, καὶ Λυδοῖς ὄργια ἐτέλει Μητρός, ἐς τοσοῦτο ἥκων παρ' αὐτοῖς τιμῆς ὡς Δία Ἄττῃ νεμεσήσαντα ὗν ἐπὶ τὰ ἔργα ἐπιπέμψαι τῶν Λυδῶν. Ἐνταῦθα ἄλλοι τε τῶν Λυδῶν καὶ αὐτὸς Ἄττης ἀπέθανεν ὑπὸ τοῦ ὑός· καί τι ἑπόμενον τούτοις Γαλατῶν δρῶσιν οἱ Πεσσινοῦντα ἔχοντες, ὑῶν οὐχ ἁπτόμενοι. Utrum haec Leontion habuerit incertum

## 9
## Elegia in Eurytionem (?

Paus. vii. 18. 1 Ὁπόσοι δὲ ἐς Ἡρακλέα καὶ τὰ ἔργα αὐτοῦ πεποιήκασιν, ἔστιν οὐκ ἐλάχιστόν σφισι δεῖγμα τοῦ λόγου Δεξαμενὸς ὁ ἐν Ὠλένῳ βασιλεύς, καὶ ὁποίων Ἡρακλῆς παρ' αὐτῷ [ξενίων] ἔτυχε. Καὶ ὅτι μὲν ἦν πόλισμα ἐξ ἀρχῆς μικρὸν ἡ Ὤλενος, μαρτυρεῖ τῷ λόγῳ μου καὶ ἐλεγεῖον ἐς Εὐρυτίωνα Κένταυρον ὑπὸ Ἑρμησιάνακτος πεποιημένον. Utrum haec habuerit Leontion incertum. Credibile est Stesichorum in Geryoneide fabulam narrasse (cf. fr. Hermes. 10) et Bacchylidem fr. 48 Jebb: Schol. ad φ 295 Βακχυλίδης δὲ διάφορον οἴεται τὸν Εὐρυτίωνα· φησὶ γὰρ ἐπιξενωθέντα Δεξαμενῷ ἐν Ἤλιδι ὑβριστικῶς ἐπιχειρῆσαι τῇ τοῦ ξενοδοχοῦντος θυγατρί, καὶ διὰ τοῦτο ὑπὸ Ἡρακλέους ἀναιρεθῆναι καιρίως τοῖς οἴκοις (τοῖς ἐκεῖ Eust. 1909. 61) ἐπιστάντος. Cf. Apollod. 2. 5. 5, Diod. iv. 33, Hygin. 31, 33, et frag. proximum

## 10

In querceto Arcadico τῆς δρυὸς τὸν φλοιὸν ἄλλοι τε Ἰώνων καὶ Ἑρμησιάναξ ὁ τὰ ἐλεγεῖα ποιήσας φελλὸν ὀνομάζουσιν, Paus. viii. 12. 1. Hoc vocabulum in Eurytionis fabula (sup. fr. 9) occurrisse credo. Nam Hercules antequam domum Dexameni advenit, dum Pholoen montem transit, a Pholo Centauro hospitio exceptus est (Apollod. 2. 5. 3). Pholoe mons in Arcadiae et Elidis finibus est, de quo Stesichorus loqui videtur frag. Geryon. 6. 5 ὁ δ' ἐς ἄλσος ἔβα δάφναισι κατάσκιον ποσσὶ παῖς Διός

## 11

Paus. ix. 35. 5 De numero et nominibus Gratiarum agitur. Ἑρμησιάνακτι δὲ τῷ τὰ ἐλεγεῖα γράψαντι τοσόνδε οὐ κατὰ τὴν τῶν πρότερον δόξαν ἐστὶν αὐτῷ πεποιημένον, ὡς ἡ Πειθὼ Χαρίτων εἴη καὶ αὐτὴ μία

## 12

Schol. Nic. Ther. 3 Ὁ Ἑρμησιάναξ οὗτος φίλος τῷ Φιλητᾷ καὶ γνώριμος ἦν· τούτῳ δὲ τὰ Περσικὰ γέγραπται καὶ τὰ εἰς Λεόντιον τὴν ἐρωμένην. Huius operis cum nusquam alibi mentio sit, maxime dubium esse censet Rohde, 88². 2, fortasse Schol. errare Susemihl, Alex. Lit. i. 187, n. 69. Vid. n. ad fr. 6

# PHANOCLES

## 1 Ἔρωτες ἢ Καλοί

*Ἢ ὡς Οἰάγροιο πάϊς Θρηΐκιος Ὀρφεὺς*
*ἐκ θυμοῦ Κάλαϊν στέρξε Βορηϊάδην,*

*πολλάκι δὲ σκιεροῖσιν ἐν ἄλσεσιν ἕζετ' ἀείδων*
*ὃν πόθον, οὐδ' ἦν οἱ θυμὸς ἐν ἡσυχίῃ,*
*ἀλλ' αἰεί μιν ἄγρυπνοι ὑπὸ ψυχῇ μελεδῶναι*
*ἔτρυχον, θαλερὸν δερκομένου Κάλαϊν.*
*Τὸν μὲν Βιστονίδες κακομήχανοι ἀμφιχυθεῖσαι*
*ἔκτανον, εὐήκη φάσγανα θηξάμεναι,*
*οὕνεκα πρῶτος ἔδειξεν ἐνὶ Θρῄκεσσιν ἔρωτας*
*ἄρρενας, οὐδὲ πόθους ᾔνεσε θηλυτέρων.*
*Τοῦ δ' ἀπὸ μὲν κεφαλὴν χαλκῷ τάμον, αὐτίκα δ' αὐτὴν*
*εἰς ἅλα Θρηϊκίῃ ῥῖψαν ὁμοῦ χέλυϊ*
*ἥλῳ καρτύνασαι, ἵν' ἐμφορέοιντο θαλάσσῃ*
*ἄμφω ἅμα, γλαυκοῖς τεγγόμεναι ῥοθίοις.*
*Τὰς δ' ἱερῇ Λέσβῳ πολιῇ ἐπέκελσε θάλασσα·*
*ἠχὴ δ' ὣς λιγυρῆς πόντον ἐπέσχε λύρης,*
*νήσους τ' αἰγιαλούς θ' ἁλιμυρέας, ἔνθα λίγειαν*
*ἀνέρες Ὀρφείην ἐκτέρισαν κεφαλήν,*
*ἐν δὲ χέλυν τύμβῳ λιγυρὴν θέσαν, ἣ καὶ ἀναύδους*
*πέτρας καὶ Φόρκου στυγνὸν ἔπειθεν ὕδωρ.*
*Ἐκ κείνου μολπαί τε καὶ ἱμερτὴ κιθαριστὺς*
*νῆσον ἔχει, πασέων δ' ἐστὶν ἀοιδοτάτη.*
*Θρῇκες δ' ὡς ἐδάησαν ἀρήϊοι ἔργα γυναικῶν*
*ἄγρια, καὶ πάντας δεινὸν ἐσῆλθεν ἄχος,*
*ἃς ἀλόχους ἔστιζον, ἵν' ἐν χροΐ σήματ' ἔχουσαι*
*κυάνεα στυγεροῦ μὴ λελάθοιντο φόνου·*
*ποινὰς δ' Ὀρφῆϊ κταμένῳ τίνουσι γυναῖκες*
*εἰσέτι νῦν κείνης εἵνεκεν ἀμπλακίης.*

Stob. 64. 14, Hense, iv, p. 461. Titulum tradit Clem. Alex. *Strom.* vi. ii. 23 Stählin, *Protrept.*, p. 32; 'Cupidines' reddit Lactant. Placid. Arg. in Ov. Metam. ii. 367 (Ov. Metam., p. 638 Magnus). 1 *Θρηϊκίου* codd.: corr. A² 3 *δὴ* Bergk 4 *οὐδ' οἱ ἦν* Herm. 6 *δερκόμενον* Trinc. 8 *εὐήκη* S M A, cf. Apoll. Rhod. Arg. ii. 101 *εὐήκεα φάσγανα*: *εὐμήκη* Trinc. 9 *πρῶτος ἔδειξεν* Nauck: *πρῶτον δεῖξεν* codd.: *πρῶτος δεῖξεν* A² 11 *αὐτὴν* A²: *υπῆν* S: *ὑπῆν* M: *ἀπῆν* A¹ Gesn.¹ 12 *Θρηϊκίην* codd. (*-αν* A¹): corr. Bergk., ut Phanoclis in pentametris usus servetur, 2, 6, 14, 16, 18, 26, 28; coll. Hermes. vii. 2, Verg. Aen. vi. 120, Ov. Am. ii. 11, 32, Prop. iii. 2. 4. 19 *λιγυρὴν*] fort. *γλυκερὴν* Bergk 20 *ἔπεισεν* Bergk, *Φόρκου ὕδωρ* = mare 23 *ἀρήϊα* Trinc. 25 *ἃς δ'* vel *τ'* Bergk 27 *τίνουσι γυναῖκες* Ruhnken Ep. Crit. ii, p. 303: *στίζουσι γυναῖκας* S (*στίξουσι* M A), et, ut videtur, Plut. Mor. 557 D (*οἱ Θρᾷκες*) *στίζουσιν ἄχρι νῦν, τιμωροῦντες Ὀρφεῖ, τὰς αὐτῶν γυναῖκας.* Sed neque cum

στίζουσι neque cum ποινάς congruit dativus. Damagetus, qui circa 220 a. C. floruit, eadem tradit: *A. P.* vii. 10. 3 στικτοὺς δ' ᾑμάξαντο βραχίονας. 28 εἵνεκεν S: ἵν' ἧκεν (ἦκεν A) M A

2

*Ἀλλὰ τὸ Μοιράων νῆμ' ἄλλυτον, οὐδέ τῳ ἔστιν*
*ἐκφυγέειν, ὁπόσοι γῆν ἐπιφερβόμεθα.*

Clem. Alex. *Strom.* vi. ii. 23 Stählin Δημοσθένους εἰπόντος Πᾶσι γὰρ ἡμῖν ὁ θάνατος ὀφείλεται, καὶ τὰ ἑξῆς, ὁ Φανοκλῆς ἐν Ἔρωσιν ἢ Καλοῖς γράφει Ἀλλά τοι κτλ. 1 τοι μυράων (μοιράων L[3]) ἡμ' L: corr. Leopardus ἄλυτον L: corr. Scal. τῳ Bergk, vel πῃ: πως L: τιν' Brunck: ποτ' Leop. 2 ἐκφυγεῖν L: corr. Leop.

3

*Ἠ ὡς θεῖον Ἄδωνιν ὀρειφοίτης Διόνυσος*
*ἥρπασεν, ἠγαθέην Κύπρον ἐποιχόμενος.*

Plut. *Quaest. Conviv.* iv. 5, p. 671 B Εἰ δὲ δεῖ καὶ τὰ μυθικὰ προσλαβεῖν, λέγεται μὲν ὁ Ἄδωνις ὑπὸ τοῦ συὸς διαφθαρῆναι· τὸν δ' Ἄδωνιν οὐχ ἕτερον, ἀλλὰ Διόνυσον εἶναι νομίζουσι· καὶ πολλὰ τῶν τελουμένων ἑκατέρῳ περὶ τὰς ἑορτὰς βεβαιοῖ τὸν λόγον. Οἱ δὲ παιδικὰ τοῦ Διονύσου γεγονέναι· καὶ Φανοκλῆς, ἐρωτικὸς ἀνήρ, ὧδέ πως πεποίηκεν· Ἠ ὡς κτλ. 1 Ἠ ὡς scripsi, coll. Fr. 1. 1: Ἠ ὡς Οἰάγροιο παῖς, idem Lenz: εἰδὼς MSS.: εἶδος Emper. 2 Κύπρον Amyot: Κύπριν MSS. quod vetat usus vocab. ἠγάθεος. De Dionyso et Adonide vid. Plat. Com. *Adon.* 3

4

Orosius, *Hist.* i. 12 'Nec mihi nunc enumerare opus est Tantali et Pelopis facta turpia, fabulas turpiores; quorum Tantalus, rex Frygiorum, Ganymedem Trois Dardaniorum regis filium cum flagitiosissime rapuisset, maiore conserti certaminis foeditate detinuit, sicut Fanocles poeta confirmat, qui maximum bellum excitatum ob hoc fuisse commemorat; sive quia hunc ipsum Tantalum, utpote adseculam deorum, videri vult raptum puerum ad libidinem Iovis familiari lenocinio praeparasse, qui ipsum quoque filium Pelopem epulis eius non dubitaret impendere'. Cf. Euseb. *Chron.* (Helm, i, p. 51. 17) ob raptum Ganymedis Troi patri Ganymedis et Tantalo bellum exortum est, ut scribit Fanocles poeta: cf. Syncellum 305. 11 Bonn, Γανυμήδην ὁ Τάνταλος ἁρπάσας υἱὸν τοῦ Τρωὸς ὑπ' αὐτοῦ κατεπολεμεῖτο Τρωός, ὡς ἱστορεῖ Δίδυμος ἐν Ἱστορίᾳ Ξένῃ, καὶ Φανοκλῆς

5

Clem. Alex. *Protrept.* ii. 32 St. Φανοκλῆς δὲ ἐν Ἔρωσιν ἢ Καλοῖς ἱστορεῖ Ἀγαμέμνονα τῶν Ἑλλήνων βασιλέα Ἀργυννίδος νεὼν Ἀφροδίτης εἵσασθαι ἐπ' Ἀργύννῳ τῷ ἐρωμένῳ. 2 Ἀργυννίδος Leop.: Ἀργύννου MSS.: del. Mein. ἵστασθαι MSS.: corr. Cob. Correctiones ambae ex Athen. xiii. 603 D tractae sunt: cf. Mein. ad Steph. Byz. [Ἀργύννιον] p. 114, Propert. iii. 7. 22

6

Lactant. Placid. in Ovid. Metam., lib. ii. 367 sqq. (Ovid. Metam., p. 638 Magnus) 'Cycnus, Stheneli filius, materno genere Phaethonti proximus, cum Liguriam incoleret, et in ripa Eridani amnis cum vidisset corpus

Phaethontis a sororibus eius ablui, pari calamitate est concussus. Plus enim iusto deflendo propinqui interitum, deorum voluntate in volucrem cygnum abiit, qui perosus caelestes ignes, paludes ac flumina, quibus insenesceret, est secutus. Phanocles in Cupidinibus auctor'. Cf. Verg. Aen. x. 189 sqq.

## 7 Falsum

Prob. ad Verg. Ecl. ii. 23 '†Panocus† et Alexander lyram a Mercurio muneri datam dicunt, quod primus †Euianaram liberavit'. Phanocles, Schneidewin, praestat Pacuvius, Wernicke ap. Pauly-Wiss. s. v. Amphion; vid. adnot. ad Alexandrum Aetolum fr. 17. Talia Phanocles scripsisse non traditur

# SIMIAS

Σιμίας Ῥόδιος, γραμματικός· ἔγραψε Γλώσσας, βιβλία γ'. Ποιήματα διάφορα, βιβλία δ'. Suid. Σιμίας non Σιμμίας scribendum esse etymologia docet (cf. Mein. Praefat. ad Menand., p. xvi, coll. *Com. Frag.*, vol. iii, p. 549), confirmant inscrr. *C. I. G.* i. 1590, 1608, ii. 1838, 2481. Σιμμίας plerumque exhibent Inscriptiones Thebanae, Σιμίας Inscrr. ceterarum urbium Boeotiarum. Nonnunquam formas ambas exhibet idem lapis, velut *C. I. G.* i. 1608. Libri MSS. Σιμμίας tradunt, et ipsa Philodemi Papyrus Herculanensis (vid. infra frag. 9). Rem decidit Kontogones, Διορθ. εἰς Στέφ. Βύζ., p. 56 sqq., et titulorum Rhodiorum sex auctoritas, *I. G.* xii. 1. De Simiae inventione metrica vid. Leonis Plautina Cantica, p. 66

## 1 Ἀπόλλων

*Τηλυγέτων δ' ἀφνειὸν Ὑπερβορέων ἀνὰ δῆμον,*
*τοῖς δή καί ποτ' ἄναξ ἥρως παρεδαίσατο Περσεύς,*
*ἔνθα δὲ Μασσαγέται τε θοῶν ἐπιβήτορες ἵππων*
*ναίουσιν τόξοισι πεποιθότες ὠκυβόλοισιν,*
*θεσπέσιόν τε παρὰ ῥόον ἤλυθον ἀενάοιο*
*Κασπάσου, εἰς ἅλα δῖαν ὃς ἀθάνατον φέρει ὕδωρ.*
*Ἐκ δ' ἱκόμην ἐλάταισι περὶ χλωρῇσιν ἐρεμνὰς*
*νήσους ὑψικόμοισιν ἐπηρεφέας δονάκεσσιν.*
*Ἡμικύνων τ' ἐνόησα γένος περιώσιον ἀνδρῶν,*
*τοῖς ὤμων καθύπερθεν εὐστρεφέων κύνεος κρὰς*
*τέτροφε γαμφηλῇσι περικρατέεσιν ἐρυμνός.*
*Τῶν μέν θ' ὥστε κυνῶν ὑλακὴ πέλει, οὐδέ τι τοίγε*
*ἄλλων ἀγνώσσουσι βροτῶν ὀνομάκλυτον αὐδήν.*

ap. Tzetz. Chiliad. vii. 693. 9–13 ap. Herodian. i. 22 L, et Steph. Byz. s. v. Ἡμίκυνες· (Σιμμίας ins. Salmas.) ἐν Ἀπόλλωνι. 1 ἀφνειὸν] ἀφίκανον Schneid. Quare Apollo cum Hyperboreis coniunctus sit (cf. Sim. fr. 2)

luculenter ostendit Farnell, *Cults*, iv, cap. iv; cf. Himer. Or. xiv. 10, Alcaei paraphrasin; Bergk, *P. L. G.* iii, p. 930; Ap. Rhod. ii. 674 sqq.; iv. 611 sqq. 2 cf. Pind. Pyth. x. 50 sqq. 3 τε addidi θούρων Knaack 5 παρὰ Wilam.: περὶ Tzetz. 6 Καμπάσου Tzetz.: corr. Knaack, coll. Plin. N. H. vi. 51 'nobilia apud eos (Scythas) flumina Mandragaeum et Caspasum' εἰς . . . ὃς ἀθάνατον Bergk: ὃς ἄλα δῖαν ἐς ἀθανάτην Tzetz.: ὅς ῥ' Brunck δῖον Harberton 7 ἐν δ' ἰδόμην coni. Wilam. ἐλάταισι Jac. prob. Knaackio: ἐλαίαισι Tzetz.: ἐλάαισι Brunck περὶ] πέριξ Wilam. περὶ χλωρῇσιν] περιχλωρῇσιν Tzetz. ἐρεμνὰς Jac. prob. Knaack.: ἐρυμνὰς Tzetz. Apollinem loqui credunt Jacobs, Knaack, rectius Fraenkel Cleinim, cf. fr. 2. 9 γένος om. Steph. 10 τοῖς ὤμων Herod., Mein.: τῶν ὤμων Tzetz.: τοῖς ὤμοις Steph. καθύπερθεν Steph., Herod.: ἐφύπερθεν Tzetz. εὐστρεφέων Tzetz.: εὐστεφέων Steph. κύνεον Tzetz.: corr. Mein. κρὰς] vid. fr. 4 11 τέτραφε Tzetz., Herod. Tanquam soloecismum damnat Heyse, *Zeits. Alt.* 1847, p. 328, ad Polyb. xii. 25 h 'Forma recens et dubia', Kühner; vid. Lob. Phryn. 579. ἐρυμνός Herod., Mein.: ἐρυμνόν Tzetz.: corr. Mein. 12 τοίγε Steph.: τειγη Tzetz.; cf. Ctes. *Phot. Bibl.*, p. 47 b, 21 de Semicanibus συνιᾶσι μὲν τὰ παρ' ἐκείνων (Indorum) λεγόμενα, αὐτοὶ δὲ οὐ δύνανται διαλέγεσθαι, ἀλλὰ τῇ ὠρυγῇ καὶ ταῖς χερσὶ καὶ δακτύλοις σημαίνουσι

## 2

Antoninus Liberalis, xx. Κλεῖνις (Martini, p. 95). Ἱστορεῖ Βοῖος ⟨Ὀρνιθογονίας⟩ β' καὶ Σιμμίας ὁ Ῥόδιος Ἀπόλλωνι (Schol. Marg.). Τῆς λεγομένης Μεσοποταμίας περὶ Βαβυλῶνα πόλιν ᾤκησεν ἀνὴρ θεοφιλὴς καὶ πλούσιος ὄνομα Κλεῖνις, ἔχων πολλοὺς βοῦς καὶ ὄνους καὶ πρόβατα. τοῦτον ἐκτόπως ἐφίλησαν Ἀπόλλων καὶ Ἄρτεμις καὶ πλειστάκις ὁμοῦ τοῖς θεοῖς τούτοις ἀφίκετο πρὸς τὸν ναὸν τοῦ Ἀπόλλωνος τὸν ἐν Ὑπερβορέοις καὶ εἶδεν ἱερουργουμένας αὐτῷ τὰς θυσίας τῶν ὄνων. (2) παραγενόμενος δὲ εἰς Βαβυλῶνα καὶ αὐτὸς ἐβούλετο καθάπερ ἐν Ὑπερβορέοις ἱερεύειν τῷ θεῷ, καὶ τὴν ἑκατόμβην τῶν ὄνων ἔστησε παρὰ τὸν βωμόν· Ἀπόλλων δὲ παραγενόμενος ἠπείλησεν ἀποκτενεῖν αὐτόν, εἰ μὴ παύσαιτο τῆς θυσίας ταύτης καὶ κατὰ τὸ σύνηθες αἶγας αὐτῷ καὶ πρόβατα καὶ βοῦς ἱερεύσειεν· (3) τὴν γὰρ τῶν ὄνων θυσίαν ἐν Ὑπερβορέοις ⟨μόνοις⟩ ἀγομένην αὐτῷ καθ' ἡδονὴν εἶναι. καὶ ὁ Κλεῖνις δείσας τὴν ἀπειλὴν ἀπήγεν ἀπὸ τοῦ βωμοῦ τοὺς ὄνους, καὶ τὸν λόγον ὃν ἤκουσεν ἐξέφερε πρὸς τοὺς παῖδας. ἦσαν δὲ αὐτῷ παῖδες Λύκιος καὶ Ὀρτύγιος καὶ Ἅρπασος καὶ θυγάτηρ Ἀρτεμίχη ἐκ μητρὸς Ἅρπης. (4) Λύκιος μὲν οὖν καὶ Ἅρπασος ἀκούσαντες ἐκέλευον ἱερεύειν τοὺς ὄνους καὶ τέρπεσθαι τῇ ἑορτῇ, Ὀρτύγιος δὲ καὶ Ἀρτεμίχη πείθεσθαι τῷ Ἀπόλλωνι προσέτασσον, καὶ δὴ τούτοις ὁ Κλεῖνις ἐπείθετο μᾶλλον. Ἅρπασος δὲ καὶ Λύκιος κατὰ βίαν ἐκλύσαντες τῶν δεσμῶν τοὺς ὄνους ἀπήλαυνον παρὰ τὸν βωμόν. (5) καὶ ὁ θεὸς ἐνέβαλε τοῖς ὄνοις λύσσαν· οἱ δὲ τούς τε παῖδας καὶ τοὺς θέραπας αὐτῶν καὶ τὸν Κλεῖνιν κατήσθιον. οἱ δὲ ἀπολλύμενοι τοὺς θεοὺς ἐπεβοῶντο. καὶ Ἅρπην μὲν καὶ Ἅρπασον ᾤκτειρε Ποσειδῶν, καὶ ἐποίησεν αὐτοὺς ὄρνιθας τῷ αὐτῷ λεγομένους ὀνόματι, Λητὼ δὲ καὶ Ἄρτεμις ἔγνωσαν ἀνασῶσαι τὸν Κλεῖνιν καὶ τὴν Ἀρτεμίχην καὶ τὸν Ὀρτύγιον, ὅτι οὐκ αἴτιοι τῶν ἀσεβημάτων ἦσαν· (6) Ἀπόλλων δὲ Λητοῖ καὶ Ἀρτέμιδι δίδωσι τὴν χάριν, καὶ πρόσθεν ἢ ἀποθανεῖν μεταβαλὼν ἐποίησε πάντας ὄρνιθας. καὶ ἐγένετο Κλεῖνις μὲν ὑπαίετος· οὗτός ἐστι δεύτερος ὀρνίθων μετὰ τὸν αἰετόν, διαγνῶναι δ' οὐ χαλεπός· ὁ μὲν γάρ ἐστι νεβροφόνος ἐρεμνὸς μέγας τε καὶ ἄλκιμος, ὁ δὲ ὑπαίετος μελάντερος καὶ ἐλάσσων ἐκείνου· (7) Λύκιος δὲ μεταβαλὼν ἐγένετο κόραξ τὸ χρῶμα λευκός, αὖτις δὲ βουλῇ Ἀπόλλωνος ἐγένετο κυάνεος, ὅτι πρῶτος ἤγγειλε Κορωνίδα τὴν Φλεγύου θυγατέρα γαμηθεῖσαν Ἀλκυονεῖ. (8) Ἀρτεμίχη δ' ἐγένετο πίφιγξ, θεοῖς τε καὶ ἀνθρώποις προσφιλὴς ὄρνις, Ὀρτύγιος δὲ αἰγίθαλλος, ὅτι τὸν πατέρα Κλεῖνιν ἀνέπειθεν αἶγας ἀντὶ τῶν ὄνων ἱερεύειν Ἀπόλλωνι.

s. 1 τὸν ἐν Fraenkel: τοῦ ἐν P, Mart., cf. Pind. Pyth. x. 31 sqq. s. 4 καὶ δὴ

Mart., vid. Martini Praefat., p. xci: καΐ πὶ P  s. 6 ὑπαίετος] ὁ δὲ ἀετὸς P, Mart.: corr. Fraenkel

## 3

*Χρυσῷ δ' αἰγλήεντι προσήρμοσεν ἀμφιδασείας*
*κόρσας καὶ στόμα λάβρον ὀπισθοδέτοισιν ἱμᾶσιν.*

Plut. *Mor. De Cohib. Ira* 6, 456 C, nomine auctoris non addito; Καὶ ὁ Μαρσύας, ὡς ἔοικε, φορβείᾳ τινι καὶ περιστομίοις τοῦ πνεύματος τὸ ῥαγδαῖον ἐγκαθεῖρξε καὶ τοῦ προσώπου κατεκόσμησε καὶ ἀπέκρυψε τὴν ἀνωμαλίαν· Χρυσῷ δὲ κτλ. Cf. Plut. *Quaest. Conv.* vii. 713 C. Tzetzes, Chil. i. 373 de Marsyae et Apollinis certamine Simonidi tribuit, Apollini Simiae Schneidewin. προσήρμοσεν Tzetz.: συνήρμοσεν Plut., quod mavult Jac.

## 4

*Χρυσῷ τοι φαέθοντι πολύλλιστος φλέγεται κράς.*

Choeroboscus in Theod. *Can. proleg. Gramm. Gr.* iv. 1, p. 116. 25 Hilg. ἔχομεν δὲ τὴν χρῆσιν τῆς εὐθείας (*sc.* verbi κράς) παρὰ Σιμμίᾳ τῷ Ῥοδίῳ οὕτως (sequitur versus). Σιμμίᾳ V et Gaisford ad Choerob. vol. i, p. 16, ex emend.: ἀμμία P et ἀμμια Cram. *Anecd. Gr.* iii, p. 385. 25; Σιμωνίδῃ N C: similem corruptelam exhibet Matranga, *Anecd.*, p. 467. 14  τοι V P: τυ N C: Cram. *Anecd. Gr.* supra  πολύλλιστος indicavit Cobet infra: πολύλλιτος V: πολύλιστος N C Cram. *Anecd.*: πολύλιτος P  φλέγεται Cobet, Bernhardy, cf. n. ad frag. 6. 5: φαίνεται N C Cram. *Anecd.*: φθέγγεται V, supra script. φαίνε, quae omnia nata esse e φέγεται, inde φένεται φαίνεται, et φέγγεται φθέγγεται, docuit Fraenkel. Olim φλεγέθει scripsi: πολύλλιτος ἐμφέρεται (= ἐμφερής ἐστι) Lob. Paral., p. 78: πολύλλιτος ὅς vel ὡς Sternbach  χρυσῷ τοι, Φαέθων, τὸ πολύλλιστον φλέγεται κράς Cob. Apollinis frag. esse videtur

## 5

Parthenius, xxxiii. περὶ Ἀσσάονος. Ἱστορεῖ Ξάνθος Λυδιακοῖς καὶ Νεάνθης β' καὶ Σιμίας ὁ Ῥόδιος. (Schol. Marg.). Διαφόρως δὲ καὶ τοῖς πολλοῖς ἱστορεῖται τὰ Νιόβης· οὐ γὰρ Ταντάλου φασὶν γενέσθαι, ἀλλ' Ἀσσάονος μὲν θυγατέρα, Φιλόττου δὲ γυναῖκα· εἰς ἔριν δὲ ἀφικομένην Λητοῖ περὶ καλλιτεκνίας ὑποσχεῖν τίσιν τοιάνδε· τὸν μὲν Φίλοττον ἐν κυνηγίᾳ διαφθαρῆναι, τὸν δὲ Ἀσσάονα τῆς θυγατρὸς πόθῳ σχόμενον (ἐχόμενος Scaliger) αὐτὴν αὐτῷ γήμασθαι· μὴ ἐνδιδούσης δὲ τῆς Νιόβης, τοὺς παῖδας αὐτῆς εἰς εὐωχίαν καλέσαντα καταπρῆσαι· καὶ τὴν μὲν διὰ ταύτην τὴν συμφορὰν ἀπὸ πέτρας ὑψηλοτάτης αὑτὴν ῥῖψαι, ἔννοιαν δὲ λαβόντα τῶν σφετέρων ἁμαρτημάτων διαχρήσασθαι τὸν Ἀσσάονα ἑαυτόν. Ad Apollinem censet pertinere Sternbach, *Mel. Gr.* 115, namque Apollo et Artemis prolem Niobae occiderunt

## 6 Γοργώ

*Ἐκ δ' ἕλετ' Ἀνδρομάχην ἠΰζωνον παράκοιτιν*
*Ἕκτορος, ἥντε οἱ αὐτῷ ἀριστῆες Παναχαιῶν*
*δῶκαν ἔχειν ἐπίηρον ἀμειβόμενοι γέρας ἀνδρί·*
*αὐτόν τ' Ἀγχίσαο κλυτὸν γόνον ἱπποδάμοιο*

*Αἰνείαν ἐν νηυσὶν ἐβήσατο ποντοπόροισιν*
*ἐκ πάντων Δαναῶν ἀγέμεν γέρας ἔξοχον ἄλλων.*

Scholl. M O ad Eur. Andr. 14 Σιμίας ἐν τῇ Γοργόνι Ἀνδρομάχην φησὶ καὶ Αἰνείαν γέρας δοθῆναι Νεοπτολέμῳ λέγων οὕτως· Ἐκ δὲ κτλ. 2 αὐτοὶ Wilam. 5 ἐμήσατο E. Schwartz: med., velut φλέγεται, fr. iv. Praecedunt haec verba apud Tzetzen *ad Lycophr.* 1263 Λέσχης δὲ ὁ τὴν Μικρὰν Ἰλιάδα πεποιηκώς . . .

> Αὐτὰρ Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱὸς
> Ἑκτορέην ἄλοχον κατάγεν κοίλας ἐπὶ νῆας,
> παῖδα δ' ἑλὼν ἐκ κόλπου ἐϋπλοκάμοιο τιθήνης
> ῥῖψε ποδὸς τεταγὼν ἀπὸ πύργου· τὸν δὲ πεσόντα
> ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή·
> ἐκ δ' ἕλετ' κτλ. (fr. Epic. 18 K.).

Duo fragmenta, primum Leschae, alterum Simiae, incertum codicum an Tzetzae ipsius errore, in unum coaluisse docuit Cobet, sed ordine praepostero, ut monstrant κατάγεν, ἕλετο. H. Fraenkel cum Sternbachio, *Mel. Graeca*, i. 113, omnes versus ad Parvam Iliada attinere, Scholia Euripidis lacunosa esse frustra contendit; nam duos poetas eadem narrare apertum est; Ἑκτορέην ἄλοχον κατάγεν, et ἐκ δ' ἕλετ' Ἀνδρομάχην. De tituli significatione non liquet: feminae nesciocui dedicatum esse poema censet Susemihl; Gorgonem a Simia amatam esse Jacobs, 'velut Antimachus, Hermesianax, Philetas carminibus suis puellarum nomina inscripserunt' (Fraenkel); Medusam fuisse Wilamowitz; rectius Rohde, *Gr. Roman*, 86 de fabula amatoria Gorgonis Cressae, Plut. Amator. 766 D cogitat. Certe Gorgo Rhodia esse potest, nam saepissime in Inscriptionibus Rhodiis nomina Γόργος, Γόργων, et similia, Collitz-Bechtel, iv. 3, Index, inveniuntur, et Γόργων quidam Περὶ τῶν ἐν Ῥόδῳ θυσιῶν, Athen. xv. 696 F, post tempora Ptolemaei I scripsit; vid. Müll. *F. H. G.* iv. 411

## 7

*Αἰθέρος ὠκεῖαι πρόπολοι πίλναντο Πέλειαι.*

Athen. xi. 491 C καὶ Σιμμίας δ' ἐν τῇ Γοργοῖ φησίν· Αἰθέρος κτλ. αἶ θέρος A: ὠκεῖαι θέρεος Kaib. Verum non de anni tempore, sed περὶ τῆς τοῦ ὀνόματος ἐκτροπῆς (490 E), *sc.* Πελειάδες et Πέλειαι, agitur.

## 8 Μῆνες

*Ὅν ῥ' Ἀμύκλαντος*
*παιδὸς ἄπο φθιμένου . . . λαοὶ κικλήσκουσιν.*

Steph. Byz. s. v. Ἀμύκλαι· κλίνεται δὲ καὶ Ἀμύκλα τὸ ὄνομα τοῦ κτίσαντος καὶ Ἀμύκλαντος, ὡς Σιμμίας ἐν Μησίν· Ὅν ῥα κτλ. ἄπο φθιμένου Fraenkel: ἀποφθιμένου Steph. Elegiacos numeros ita rest. Meineke:

> ὅν ῥ' ⟨ἀπ'⟩ Ἀμύκλαντος παιδὸς ἀποφθιμένου
> λαοὶ κικλήσκουσι:

Bergk:

> ὅν τ' Ἀμύκλαντος
> παιδὸς ἀποφθιμένου λαοὶ ⟨μετα⟩κικλήσκουσιν.

De Hyacintho, Amyclae filio, qui mensi Ὑακινθίῳ nomen dedisse fertur, agi, et verba ex elegiaco carmine ducta esse censet Mein. *Del. Poet. Anth.*, p. 100. Μηνῶν Προσηγορίας conscripsit Callimachus

## 9 Εἰς Ἑστίαν

*Ἱστία ἀγνά, ἀπ' εὐξείνων μέσα τοίχων*

Heph. viii. 5, p. 26 Consb., et Schol. B iii. x Περὶ Ἀναπαιστικοῦ· Τῷ δὲ τριμέτρῳ (*sc.* καταληκτικῷ velut in systematis exitu) Σιμίας ὁ Ῥόδιος ὅλον ποιημάτων ἔγραψεν Ἱστία κτλ. εὐξείνων codd.: corr. Westphal.: σ' ἄτ' εὐξείνων Bergk. Metrum τὸ καλούμενον Σιμίειον schol. Hoc poema memorat Philodemus Περὶ εὐσεβείας, p. 23 Gomp. Σιμίας δ' [ὁ Ῥόδιος τὴν] αὐτὴν Ἑστία[ν] [καὶ Δα]μ[ί]αν

## Ex incertis

### 10

*Ζηνὸς ἕδος Κρονίδαο μάκαιρ' ὑπεδέξατο Δωδώ.*

Steph. Byz. s. v. Δωδώνη, Mein., p. 248 λήγεται δὲ καὶ εἰς ω̄· Σιμμίας ὁ Ῥόδιος· Ζηνὸς κτλ. = Herodian. i. 336. 32; 347. 25; ii. 212. 8, not. L: cf. Strab. viii. 364 Δωδὼ δὲ τὴν Δωδώνην Σιμμίας

### 11

*Ἀμμὰς*

*Ἰγνήτων καὶ Τελχίνων ἔφυ ἡ ἀλυκὴ ζάψ.*

Clem. Alex. *Strom.* v, p. 358 Stäh. ζάψ·... καλεῖται δ' οὕτως ἡ θάλασσα, ὡς Εὐφορίων... καὶ Σιμίας ὁ Ῥόδιος. ἀμμὰς Dind. (ἀμμάς· ἡ τροφὸς καὶ ἡ μήτηρ κτλ. Photius Berolin., cf. Hesych.): ἅμμας et Ἰγνήτων Bochart: ἅμα σιγνήτων L: ἀμμὰς dittographiam esse voc. Σιμίας censet Düntzer, vel pro ἐν Μησίν: Ἴγνητες dat Hesych. s. v., οἱ μετὰ τοὺς Τελχῖνας ἐποικήσαντες τὴν Ῥόδον: ita Attice scribi dicit Apollon. *de Pron.*, p. i. 56. 4 Uhl. τῆς δασείας Ἀττικῶς προσελθούσης: sed vid. Fraenkel.; cf. Lob. Path. i, p. 73, *Paral. Index* s. v. Steph. Byz. Γνής, ἔθνος οἰκῆσαν τὴν Ῥόδον· ἔνθεν καὶ ἴγνητες οἱ ἰθαγενεῖς: ἴγνητες = ἰν(ἐν)γνητες, indigenae; aut ἰ demonstrativa est, ut in ἴν, vid. Boisacq. *Dict. Etymol.* s. v. cum quo confert Sternb. Suetonium ap. Millerum, *Mélanges de litt. grecque*, p. 417 ἄλλοι δὲ τοὺς τὴν Ῥόδον οἰκοῦντας (*sc.* τοὺς Τελχῖνάς φασιν), ὅθεν καὶ Τελχινία ἡ νῆσος ἐλέγετο· τινὲς δέ, ὧν ἐστι καὶ Σιμμίας, τοὺς τῆς Κρήτης οἰκήτορας

### 12

*Πτωκὰς κύπειρος*

Hesych. s. v. πτωκάς. Π. κ. παρὰ Σιμμίᾳ ἡ πόα, διὰ τὸ χθαμαλὴ εἶναι

### 13

*Μᾶτερ ὦ ποντία κλῦθι Νυμφᾶν ἁβρᾶν*
*Δῶρι, κυμοκτύπων ⟨τ'⟩ ἦραν' ἁλίων μυχῶν.*

Hephaest., p. 41 Consbr. Περὶ Παιωνικοῦ· Σιμίας δὲ ἐπετήδευσεν ἔν τισι ποιήμασι τοὺς πλείστους κρητικοὺς παραλαβεῖν· Μᾶτερ ὦ. 1 πότνια codd.: corr. Wilam. 2 τ' ins. Fraenkel, ut Nereus vel Neptunus appelletur ἤραν codd.: corr. Salmas.

### 14

*Σοὶ μὲν εὔιππος εὔπωλος ἐγχέσπαλος*
*δῶκεν αἰχμὰν Ἐνυάλιος εὔσκοπον ἔχειν.*

Hephaest. ibid.

15

*Σέ ποτε δρί' ὃς ἀνὰ δρυμά τε, νεαρὲ κόρε νεβροχίτων*

Hephaest., p. 42 Consbr. Sed et unum poema Simiam scripsisse ait solutis Creticis cum Paeone quarto in pede ultimo (rarum, Heph. p. 41, 7). δρί' ὃς ἀνὰ δρυμά τε scripsi: Διὸς ἀνὰ πύματα codd., fort. πυκινά, cf. Λ 118. νεβροχίτων Διόνυσος, Nonn. xxvi. 28

16

*Τὸν στυγνὸν Μελανίππου φόνον αἱ πατροφόνων ἔριθοι*

Hephaest., p. 34 Consbr. Σιμίας δὲ καὶ τῷ ὑπερκαταλήκτῳ κέχρηται Τὸν στυγνὸν κτλ., ὅπερ καὶ καλεῖται Σιμιακόν. Haec est forma Asclepiadei Maioris: usus est Anacreon eadem, fr. 19 πέτρης ἐς πολιὸν κῦμα κολυμβῶ μεθύων ἔρωτι et 20 τρέψας θυμὸν ἐς ἥβην τερένων ἡμιόπων ὑπ' αὐλῶν. Tydeus Melanippi

> Imperat abscisum porgi, laevaque receptum
> spectat atrox hostile caput,

Stat. Theb. viii. 754 sqq.; Apollod. 3. 6. 8. 3 Quo spectent αἱ πατρ. ἔρ. non liquet. Vix Ἐρινῦς vel ἀρωγοί, quae nervos locutioni succiderent. φονόν Wilam., 'homicidam', Aischylos *Interpret.*, p. 102, n. 1, velut φονόν requirit Gildersleeve ad Pind. Pyth. iv. 250: cf. Soph. O.T. 450. Ut in Gorgone, fr. 6, fabulae fons erat aut Ἰλιὰς Μικρά vel Ἰλίου Πέρσις, aut Stesichori Ἰλίου Πέρσις

17

*Χαῖρε ἄναξ Ἕκατε, ζαθέας μάκαρ ἥβας*

Hephaest., p. 21 Consbr. et Schol. A vii. 21. 10; B ix τὸ πεντάμετρον καταληκτικὸν εἰς δισύλλαβον, τὸ καλούμενον Σιμίειον, οἷον Χαῖρε κτλ. Certe nomen Simiae non additum est ut in 15, sed forma Dorica ἥβας ei favet; tamen propter metrum Apollini non potest tribui. ἑτάρε codd. Heph.: em. Bergk, Wilam.

## Epigrammata

18

*Πρόσθε μὲν ἀγραύλοιο δασύτριχος ἰξάλου αἰγὸς*
*δοιὸν ἐπὶ χλωροῖς ἐστεφόμαν πετάλοις·*
*νῦν δέ με Νικομάχῳ κεραοξόος ἅρμοσε τέκτων,*
*ἐντανύσας ἕλικος καρτερὰ νεῦρα βοός.*

*A.P.* vi. 113. Tit. Ἀνάθημα Σιμίου P: Ἀ. παρὰ Νικομάχου Σιμίου γραμματικοῦ P Corr. 1, 2 ap. Suid. s.v. ἴξαλος διατριχὸς P: διὰ τριχὸς Pl. Suid.: em. Reiske 2 δοιὸν P (*sc.* κέρας): δοιῶ Pl. Suid. A: δοιὸν ὅπλον Geist, Piccolos: δοιὰ κέρα Fraenkel ἐστρεφόμαν Heck. 3 ap. Suid. s.v. κεραοξόος· Νικόμαχος Heck.; Nicomacho epig. trib. Benndorf ἥρμοσε P; Suid.: corr. Sternb. 4 ἕλικος Pl.: ἕλκος P

19

*Τάνδε κατ' εὔδενδρον στείβων δρίος εἴρυσα χειρὶ*
*πτώσσουσαν βρομίας οἰνάδος ἐν πετάλοις,*
*ὄφρα μοι εὐερκεῖ καναχὰν δόμῳ ἔνδοθι θείη*
*τερπνὰ δι' ἀγλώσσου φθεγγομένα στόματος.*

*A. P.* vii. 193. Tit. Σιμμίου P corr., εἰς ἀκρίδα. 1, 2 ap. Suid. s. v. πτώσσοντες δρυὸς P Suid.: corr. Küster 3 ap. Suid. s. v. εὐερκεῖ 4 cf. Arist. Hist. An. iv. 9. 2 αἱ δ' ἀκρίδες τοῖς πηδαλίοις τρίβουσαι ποιοῦσι τὸν ψόφον

## 20

Οὔκετ' ἀν' ὑλῆεν δρίος εὔσκιον, ἀγρότα πέρδιξ,
ἠχήεσσαν ἵης γῆρυν ἀπὸ στομάτων,
θηρεύων βαλιοὺς συνομήλικας ἐν νομῷ ὕλης·
ᾤχεο γὰρ πυμάταν εἰς Ἀχέροντος ὁδόν.

*A. P.* vii. 203. Tit. Σιμμίου P corr. Pl., iniuria Simiae abiudicat Sternb. 1, 2 ap. Suid. s. v. δρίος 1 de perdice illice cf. Xen. Mem. ii. 1. 4, Aelian. H. A. iv. 16 2 ἠχήσεις ἀνεὶς στομάτων (τος sscr.) P: στόματος Pl. Suid.: γρ. ἠχήεσσαν ἱεὶς Lemm.: ἠχήσεις ἐνιεὶς Pl.: ἠχήσεις ἀνεὶς Suid. nonnulli codd.; sed ἀνιεὶς A: corr. Jac. 3, 4 ap. Suid. s. v. βαλιάν

## 21

Ὕστατα δὴ τάδ' ἔειπε φίλαν ποτὶ ματέρα Γοργὼ
δακρυόεσσα, δέρας χερσὶν ἐφαπτομένα·
"Αὖθι μένοις παρὰ πατρί, τέκοις δ' ἐπὶ λῴονι μοίρᾳ
ἄλλαν σῷ πολιῷ γήραϊ καδεμόνα."

*A. P.* vii. 647. Σιμωνίδου, οἱ δὲ Σιμίου P: Σιμμίου P corr., ante clausulam erasam Σαμίου Pl.; Simiae Rhodio tribuunt edd. plurimi, coll. supra frag. 6, Simonidi Schneidewin. Prooemium esse Gorgonis poematis, quod cogitavit Stadt. non verisimile est; titulum secundum perperam esse scriptum censet Wilam. *Sappho u. Simonides*, p. 227 n., neque ad Simiae Gorgonem utique pertinere. 1 δὴ om. P φίλαν Pl.: φίλην P μητέρα P: ματέρα Pl.; Doricae formae praeferendae 2 δέρας Stadt.: δέρης P Pl. 4 κα(η sscr.)δομενα(η sscr.)ν P: corr. Salm.

## 22 Dubium

Δέρμα καὶ ὀργυιαῖα κέρα βοὸς ἐκ βασιλῆος
Ἀμφιτρυωνιάδᾳ κείμεθ' ἀνὰ πρόπυλον,
τεσσαρακαιδεκάδωρα, τὸν αὐχήεντα Φιλίππῳ
ἀντόμενον κατὰ γᾶς ἤλασε δεινὸς ἄκων
βούβοτον Ὀρβηλοῖο παρὰ σφυρόν· ἆ πολύολβος
Ἠμαθίς, ἃ τοίῳ κραίνεται ἀγεμόνι.

*A. P.* vi. 114. Tit. τοῦ αὐτοῦ (*sc.* Σιμίου) P quod in αμυ(τ sscr.)ν mutavit P corr., et addit Φιλίππου θεσσαλ^o: Σιμμίου Pl.; Samo aut Persae trib. Stadt. 4 πλαγίως vel κατ' ἄλας vel κατ' ἄκρας Stadt. Nihil mutandum 5 ap. Suid. s. v. βούβοτον 6 ἠμαθία P corr.: ἠμαθιωι P ante ras.: corr. Mein. ἆ] εἰ Stadt. κραίνεαι Sternb.

## 23

Abiudicat Rhodio Sternbach *A. P.* vii. 20, 21, 22, et 60 tribuit Thebano, quod Doricae dialecti vestigia absint, fort. recte; sed 21, 22 Rhodio trib. Meineke et Stadt., contra Lemmatistam; haesitat Fraenkel; 60 tribuit Mein., et dubitanter Jac.; non recipit Fraenkel. Vid. Stadt. praef. *A. P.* vii, p. xxvi

## 24 Πτέρυγες

*Λεῦσσέ με τὸν Γᾶς τε βαθυστέρνου ἄνακτ', Ἀκμονίδαν τ' ἄλλυδις ἑδράσαντα,*
*μηδὲ τρέσῃς, εἰ τόσος ὢν δάσκια βέβριθα λάχνᾳ γένεια·*
*τᾶμος ἐγὼ γὰρ γενόμαν, ἀνίκ' ἔκραιν' Ἀνάγκα,*
*πάντα δὲ τᾶς εἶκε φραδαῖσι λυγραῖς*
*ἑρπετά, πάνθ' ὅσ' εἶρπε*
*δι' αἴθρας.*
*Χάους δέ,*
*οὔτι γε Κύπριδος παῖς*
*ὠκυπέτας ἠδ' Ἄρεος καλεῦμαι,*
*οὔτι γὰρ ἔκρανα βίᾳ, πραϋνόῳ δὲ πειθοῖ·*
*εἶκε δέ μοι γαῖα, θαλάσσας τε μυχοί, χάλκεος οὐρανός τε·*
*τῶν δ' ἐγὼ ἐκνοσφισάμαν ὠγύγιον σκᾶπτρον, ἔκρινον δὲ θεοῖς θέμιστας.*

*A. P.* xv. 24, et Theocr. codd. K B al. Titulus: εἰδύλλιον κ' Πτέρυγες Theocr. K: Πτέρυγες Ἔρωτος Anth. Pal. P: Πτέρυγες Σιμμίου P index: Πτέρυγες Heph. Metrum Choriambicum cum amphibracho vel bacchio; Hephaestio, p. 31 Consbr. continet v. 1. 1 λεύσετε Heph.: λεῦσσέ με rel. Ἀκμονίδαν, Uranum, Antimach. fr. 35 K, Bergk ad Alcman. 111, Schneider, Callim. vol. ii, p. 415 τ' Heph.: om. P 2 βεβριθότα λαγνᾷ P: corr. Salm. 3 ἔκριν' codd.: corr. Salm. 4 δ' ἐκτάσει καὶ φραδέσι codd.: δὲ Γᾶς Salm. e schol. ὕπεικε ταῖς τῆς Γῆς γνώμαις: hunc secuti sunt edd., sed aliquis latet error, non enim Terra, sed Necessitas dominabatur; ergo τᾶς scripsi. Coniungere Γᾶς cum ἑρπετά durum est 5 εἶρπε Edmonds: ἕρπει codd.: ἐμπνεῖ Kaibel: πάνθ' ὅσ' ἕρπει codd. tanquam gloss. eiecto: coni. Haeberlin ἑρπέθ' ἁλός θ' ἅ τε πνεῖ (ἅ τ' ἔπνει ?) coll. v. 11 7 τε codd.: δέ Bergk, qui post αἴθρας distinxit. De Orphico Amore loquitur poeta; cf. Ar. Av. 693 sqq., Abel, Orphica, fr. 53 sqq. 9 ἠδ' scripsi: δ' codd. et Schol.: οὐδ' Wilam. Ἄρεος Callierg.: ἀέρος Theocr. K: ἀέριος Anth. Pal. P: ἔρως Junt., Schol.: Ἀρεῖος Edmonds. Postulat βία v. 10 Martis mentionem. Ita distinxit Leo. καλεῦμαι (οὔτι γὰρ ἔκρανα βίᾳ), πραϋνόῳ δὲ πειθοῖ εἶκεν ἐμοί (εἶκει Fraenkel) 10 ἔκρινα βίας πραῦνω codd.: corr. Bergk πραϋλόγῳ Wilam. e Synes. Hymn. 6. 34 11 μυχοί et μυχός codd.: μυχοί Schol., usitatius, et cf. Sim. fr. 13 12 ἐγὼν et ἔκραινον codd.: corr. Salm.

## 25 Πέλεκυς

Ἀνδροθέᾳ δῶρον ὁ Φωκεὺς κρατερᾶς μηδοσύνας ἦρα τίνων Ἀθάνᾳ
ὤπασ' Ἐπειὸς πέλεκυν, τῷ ποκὰ πύργων θεοτεύκτων κατέρειψεν
αἶπος,
τᾶμος ἐπεὶ τὰν ἱερὰν κηρὶ πυρίπνῳ πόλιν ἠθάλωσεν
Δαρδανιδᾶν, χρυσοβαφεῖς δ' ἐστυφέλιξ' ἐκ θεμέθλων ἄνακτας,
οὐκ ἐνάριθμος γεγαὼς ἐν προμάχοις Ἀχαιῶν,
ἀλλ' ἀπὸ κρανᾶν ἰθαρᾶν νᾶμα κόμιζε δυσκλής·
νῦν δ' ἐς Ὁμήρειον ἔβα κέλευθον
σὰν χάριν, ἁγνὰ πολύβουλε Παλλάς.
Τρὶς μάκαρ ὃν σὺ θυμῷ
ἵλαος ἀμφιδερχθῇς·
ὅδ' ὄλβος
ἀεὶ πνεῖ.

Ἀνδροθέᾳ δῶρον ὁ Φωκεὺς κρατερᾶς μηδοσύνας ἦρα τίνων Ἀθάνᾳ
τᾶμος ἐπεὶ τὰν ἱερὰν κηρὶ πυρίπνῳ πόλιν ἠθάλωσεν
οὐκ ἐνάριθμος γεγαὼς ἐν προμάχοις Ἀχαιῶν
νῦν δ' ἐς Ὁμήρειον ἔβα κέλευθον
τρὶς μάκαρ ὃν σὺ θυμῷ
ὅδ' ὄλβος
ἀεὶ πνεῖ
ἵλαος ἀμφιδερχθῇς
σὰν χάριν ἁγνὰ πολύβουλε Παλλάς
ἀλλ' ἀπὸ κρανᾶν ἰθαρᾶν νᾶμα κόμιζε δυσκλής
Δαρδανιδᾶν χρυσοβαφεῖς δ' ἐστυφέλιξ' ἐκ θεμέθλων ἄνακτας
ὤπασ' Ἐπειὸς πέλεκυν τῷ ποκὰ πύργων θεοτεύκτων κατέρειψεν αἶπος.

*A. P.* xv. 22, Theocr. codd. Y B K. Versus hoc ordine legi debent: Titulus: Πέλεκυς Hephaest., K Theocr.: om. Anth. Pal. P. Metrum quod in Πτέρυξιν 1 Hephaest., p. 31 Consbr. 2 ποκὰ B Theocr.: ποτε, P, K Y Theocr. κατέριψεν P: κατήρειψ' Y: corr. Salmas. Cf. Pind. Paean. viii. 32 = *Oxyrh. Pap.* v. 67 Ἴλιον πᾶσάν νιν [Alexandrum] ἐπὶ π[έδον] κατερεῖψαι 3 τᾶμος B Theocr.: τῆμος P Y πυρίπνῳ B, Schol. P: πυρίνῳ P 4 δ' K B: τ' P Y 6 κρηνᾶν P Y ἴθαρὰν(κα sscr.) P: καθαρᾶν K Y; cf. Stesich. 18 ᾤκτειρε γὰρ αὐτὸν ὕδωρ ἀεὶ φορέοντα Διὸς κούρα βασιλεῦσιν. δυσκλής ut νηλής 11 ὅδ' ὄλβος P K: τὸν ὄλβος B, Schol. P?: ὅδ' ὄλβον Boisson. Ut in Gorgone, fr. 6, fortasse hic usus est Simias Iliade Parva. Inter ὅδ' ὄλβος et ἀεὶ πνεῖ leguntur manubrii loco in codd. praeter Palatinum et Y[1] et in editionibus veteribus ... τας βίνο (K: βίνων nonnulli: βαίνων edd.) κλυτὸς ἶσα θεοῖς ὡς εὗρε Ῥόδου γεγαὼς ὁ πολύτροπα μοῦνος μέτρα μολπᾶς (pro τας et μοῦνος, Σιμμίας et μαιόμενος, Wilam.). Salmas. et Is. Vossius tanquam a sciolo nescioquo ex Ovo conflatum expulerunt; dittographiam esse Ovi v. 20 censet Fraenkel. Fortasse manubrium insertum noverat Schol. Hephaestionis; vid. Consbr., p. 140

## 26 'Ωιόν

*Κωτίλας*
τῆ τόδ' ἄτριον νέον
πρόφρων δὲ θυμῷ δέξο δὴ γὰρ ἁγνᾶς
τὸ μὲν θεῶν ἐριβόας Ἑρμᾶς ἔκιξε κᾶρυξ
ἄνωγε δ' ἐκ μέτρου μονοβάμονος μέγαν πάροιθ'
ἀέξειν
θοῶς δ' ὕπερθεν ὠκὺ λέχριον φέρων νεῦμα ποδῶν
σποράδην πίφαυσκεν
θοαῖς ἴσ' αἰόλαις νέβροις κῶλ' ἀλλάσσων ὀρσιπόδων ἐλάφων
τέκεσσιν
πᾶσαι κραιπνοῖς ὑπὲρ ἄκρων ἱέμεναι ποσὶ λόφων κατ' ἀρθμίας
ἴχνος τιθήνας
καί τις ὠμόθυμος ἀμφίπαλτον αἶψ' αὐδὰν θὴρ ἐν κόλπῳ δεξά-
μενος θαλαμᾶν μυχοιτάτῳ
κᾆτ' ὦκα βοᾶς ἀκοὰν μεθέπων ὅγ' ἄφαρ λάσιον νιφοβόλων ἀν'
ὀρέων ἔσσυται ἄγκος
ταῖς δὴ δαίμων κλυτὸς ἶσα θοοῖς † ποσὶ δονέων πολύπλοκα
μεθίει μέτρα μολπᾶς
ῥίμφα πετρόκοιτον ἐκλιπὼν ὄρουσ' εὐνὰν ματρὸς πλαγκτὸν
μαιόμενος βαλιᾶς ἑλεῖν τέκος
βλαχᾷ δ' οἰῶν πολυβότων ἀν' ὀρέων νομὸν ἔβαν
τανυσφύρων ⟨ὑπ'⟩ ἄντρα Νυμφᾶν
ταὶ δ' ἀμβρότῳ πόθῳ φίλας ματρὸς ῥώοντ' αἶψα
μεθ' ἱμερόεντα μαζὸν
ἴχνει θενὼν γᾶν ⟨παρθένων⟩ παναίολον Πιε-
ρίδων ὁμόδουπον αὐδὰν
ἀριθμὸν εἰς ἄκραν δεκάδ' ἰχνίων
κόσμον νέμοντα ῥυθμῶν
φῦλ' ἐς βροτῶν ὑπὸ φίλας ἑλὼν
πτεροῖσι ματρὸς
λίγειά νιν κάμ' ἀμφὶ ματρὸς ὠδὶς
Δωρίας ἀηδόνος
ματέρος.

Hoc ordine versus sunt legendi:

*Κωτίλας*
*ματέρος*
*τῇ τόδ' ἄτριον νέον*
*Δωρίας ἀηδόνος·*
*πρόφρων δὲ θυμῷ δέξο· δὴ γὰρ ἁγνᾶς*
*λίγειά νιν κάμ' ἀμφὶ ματρὸς ὠδίς.*
*Τὸ μὲν θεῶν ἐριβόας Ἑρμᾶς ἔκιξε κᾶρυξ*
*φῦλ' ἐς βροτῶν, ὑπὸ φίλας ἑλὼν πτέροισι ματρός,*
*ἄνωγε δ' ἐκ μέτρου μονοβάμονος μέγαν πάροιθ' ἀέξειν*
*ἀριθμὸν εἰς ἄκραν δεκάδ' ἰχνίων, κόσμον νέμοντα ῥυθμῶν,*
*θοῶς δ' ὕπερθεν ὠκὺ λέχριον φέρων νεῦμα ποδῶν σποράδην πίφαυσκεν,*
*ἴχνει θενὼν γᾶν, ⟨παρθένων⟩ παναίολον Πιερίδων ὁμόδουπον αὐδάν,*
*θοαῖς ἴσ' αἰόλαις νεβροῖς κῶλ' ἀλλάσσων, ὀρσιπόδων ἐλάφων τέκεσσιν·*
*ταί τ' ἀμβρότῳ πόθῳ φίλας ματρὸς ῥώοντ' αἶψα μεθ' ἱμερόεντα μαζόν,*
*πᾶσαι κραιπνοῖς ὑπὲρ ἄκρων ἵεμεναι ποσὶ λόφων κατ' ἀρθμίας ἴχνος τιθήνας*
*βλαχᾷ δ' οἰῶν πολυβότων ἀν' ὀρέων νομὸν ἔβαν τανυσφύρων ⟨ὑπ'⟩ ἄντρα Νυμφᾶν·*
*καί τις ὠμόθυμος ἀμφίπαλτον αἶψ' αὐδὰν θὴρ ἐν κόλπῳ δεξάμενος θαλαμᾶν μυχοιτάτῳ*
*ῥίμφα πετρόκοιτον ἐκλιπὼν ὄρουσ' εὐνάν, ματρὸς πλαγκτὸν μαιόμενος βαλιᾶς ἑλεῖν τέκος·*
*καῖτ' ὦκα βοᾶς ἀκοὰν μεθέπων ὅγ' ἄφαρ λάσιον νιφοβόλων ἀν' ὀρέων ἔσσυται ἄγκος·*
*ταῖς δὴ δαίμων κλυτὸς ἶσα θοοῖς† ποσὶ δονέων πολύπλοκα μεθίει μέτρα μολπᾶς.*

*A. P.* xv. 27, Bucolicorum C. Tit. Βησαντίνου (Βηστίνου = Vestini, Haeberlin, vid. Wilam. app. crit. Bucolicorum Graecorum, p. 155) Ῥοδίου ᾠὸν χελιδόνος P lemm., in fine Βησαντίνου Ῥοδίου ᾠὸν ἢ Δωσιάδα ἢ Σιμμίου· ἀμφότεροι Ῥόδιοι: ᾠόν index P. Simiae Rhodio trib. Hephaest., pp. 62 et 68 Consbr., et C Bucolicorum. Binorum versuum metra inter se respondent 1–4 Κωτίλας ματέρος τῇ τόδ' ἄτριον νέον Δωρίας ἀηδόνος Wilam.: Κωτίλας | ματέρος | τῇ τόδ' ὠὸν νέον | ἁγνᾶς ἀηδόνος πανδιωνίδας | δωρίας νασιώτας | ἄτριον ῥόδου P, corruptius hic et passim C, velut τι, ἀγρίου, πίασκε 11.

Glossemata del. Bergk 5 δεῖ γὰρ ἁγνὰ P : δὴ ἁγνὰ C : corr. Salm. 6 νιν Haeberlin : μιν codd. κάμ' ἀμφὶ (sc. κάμ' ἀμφί νιν) Salm. : καμφίματρος codd. : κάμ' ἶφι Haeb. 7 ἔκιξε P : ἔδειξε Bergk : κόμιζε olim Wilam. (κόμιξε ?) 8 πέτροις P : -οισι C : corr. Scal., Salm. 9 μέζω Edmonds : 'numeros versuum a monometro usque ad decametrum augeri' Bergk : πάροιθε damnat Haeberlin 10 κόσμον νέμοντα ῥυθμῶν Bergk : κόσμιος νέμοντο ῥυθμῷ P : κόσμον νέμοντα ῥυθμόν C 11 ὕπερθεν Schol. Pal. : ὕπερθ' P ὠκυλέχριον Edmonds φέρων Schol. P : φέρω P νεῦμα (quod ad ovi figuram spectat) P et Schol. : ἅλμα Haeberlin : νῆμα olim Bergk παδῶν C, Schol. P : πόλλω P σποράδην Schol. P, om. P C : σποράδων Salm. 12 ἴχνει] ἴχνη (ει sscr.) P θένων γᾶν scripsi : θένω τὰν P : θένων τὸν C : θένων (βροτοῖσι) Haeb., coll. v. 8 : θένων τόνον (del. φέρων in v. 11) Edmonds παρθένων tanquam post θένων omissum conieci : ὁμόδουπον Jac. : μονόδουπον codd. 13 θοαῖς ἴσ' Bergk : θοαῖσί τ' codd. 14 τ' P : δ' C 15 πᾶσαι κραιπνοῖς Wilam. : παλαικραιπνοῖς codd. : παλιγκραιπνοῖς Brunck : τηλεκραιπνοῖς Edmonds 16 βλαχαὶ codd. : corr. Edmonds et nos τισαυβοτων P : ΤΙΣΑ = ΠΟΛ perspexit Salm. ὄρεον = ὄρειον coni. Edm. ὑπ' addidi : ἐς Wilam. : ἀν' Salm. 17 θαλάμων codd. : corr. Haeberlin μυχοιτάτῳ Wilam., cf. φ 146 : πουκότατον P et Schol. 18 πτερόκοιτον P : corr. Salm. ὄρους codd. : corr. Bergk 19 κατ' corr. Wilam. : καὶ τάδ' codd. ἄφαρ ὅγε codd. : transp. Bergk λασίων codd. : corr. Salm. ἔσσυται ἄγκος Salm. : ἔσσυτ' ἀνάγκαις codd. 20 κλυτὸς Bergk : κλυταῖς P θεοῖς ποσὶ δονέων P : θα ποσὶ πονέων C : θοοῖσι πόνον δονέων ποσὶ Jac. : omnia incerta μολπᾶς C : μολπαῖς P. De metro vid. Wilam. *Textgesch. d. Bukol.* 248

27

Exstant fragmenta nonnulla trium librorum quos de glossis scripsisse Simiam testatur Suidas ; Athen. xi. 472 E κάδος· Σιμμίας ποτήριον, παρατιθέμενος Ἀνακρέοντος Οἴνου δ' ἐξέπιον κάδον, fr. 17 Bk[4]. xi. 479 C Σιμμίας δὲ ἀποδίδωσι τὴν κοτύλην, ἄλεισον. xv. 677 C Τιμαχίδας δὲ καὶ Σιμμίας οἱ Ῥάδιοι ἀποδιδόασιν ἐν ἀνθ' ἑνός, "Ἴσθμιον, στέφανον". vi. 327 E ἔστι γὰρ καὶ γένος λίθου φάγρος· ἡ γὰρ ἀκόνη κατὰ Κρῆτας φάγρος, ὥς φησι Σιμίας : sed non poetica

# ANTAGORAS

## 1 Εἰς Ἔρωτα

Ἐν δοιῇ μοι θυμός, ὅ τοι γένος ἀμφίσβητον,
ἤ σε θεῶν τὸν πρῶτον ἀειγενέων, Ἔρος, εἴπω,
τῶν ὅσσους Ἔρεβός τε πάλαι βασίλειά τε παῖδας
γείνατο Νὺξ πελάγεσσιν ὑπ' εὐρέος Ὠκεανοῖο·
ἤ σέ γε Κύπριδος υἷα περίφρονος, ἠέ σε Γαίης,
ἢ Ἀνέμων· τοῖος σὺ κακὰ φρονέων ἀλάλησαι
ἀνθρώποις ἠδ' ἐσθλά· τὸ καὶ σέο σῶμα δίφυιον.

Diog. Laert. iv. 5. 26 λέγεται δὲ καὶ Ἀνταγόρα τοῦ ποιητοῦ ὡς Κράντορος εἰς Ἔρωτα πεποιημένα φέρεσθαι ταυτί· Ἐν δοιῇ κτλ. 1 ἀμφιβόητον codd. : corr. Mein., Meibom. ; cf. Callim. Hymn. in Iov. 5, Wilam. Antig. Caryst., p. 69 ἐν δοιῇ μάλα θυμός, ἐπεὶ γένος ἀμφήριστον. Falsa forma ἀμφίσβητος pro -ητος non nihil debere videtur formae Ionicae ἀμφίσβατος 7 ἀνθρώπων codd. : corr. Jac. διφυόν codd. : corr. Herm.

Epigrammata

2

Μνήματι τῷδε Κράτητα θεουδέα καὶ Πολέμωνα
ἔννεπε κρύπτεσθαι, ξεῖνε, παρερχόμενος,
ἄνδρας ὁμοφροσύνῃ μεγαλήτορας, ὧν ἀπὸ μῦθος
ἱερὸς ἤισσεν δαιμονίου στόματος,
καὶ βίοτος καθαρὸς σοφίας ἐπὶ θεῖον ἐκόσμει
αἰῶν' ἀστρέπτοις δόγμασι πειθόμενος.

*A. P.* vii. 103 et Diog. Laert. iv. 4. 21 Ἀνταγόρας εἰς ἄμφω (*sc.* Cratetem et Polemonem) τοῦτον ἐποίησε τὸν τρόπον· Μνήματι κτλ. 1, 2 om. P: suppl. Diog. Laert. 4 ἤεισεν P: ἤισεν D. Laert.: em. Jac. 5 iungendum σοφίας cum βίοτος potius quam cum αἰῶνα, et ἐπί cum ἐκόσμει

3

Ὦ ἴτε Δήμητρος πρὸς ἀνάκτορον, ὦ ἴτε μύσται,
μηδ' ὕδατος προχοὰς δείδιτε χειμερίους·
τοῖον γὰρ Ξενοκλῆς ὁ Ξείνιδος ἀσφαλὲς ὔμμιν
ζεῦγμα διὰ πλατέος τοῦδ' ἔβαλεν ποταμοῦ.

Hephaest. Consbr., p. 56 de Antispastis, οἷον παρ᾽ Εὐφορίωνι τῷ Χερρονησίτῃ Οὐ βέβηλος, κτλ. Sed legendum est Εὐφρονίῳ, nam in Choerobosci Comm. in Hephaest. Consbr., p. 241. 11 sqq. de Priapeo metro, Εὐφρόνιος habet cod. U, et K, ut videtur, prima manu; Πριάπειον δὲ ἐκλήθη, ἐπειδὴ Εὐφρόνιος ὁ γραμματικὸς ἐπὶ τῶν Πτολεμαίων ἐν Ἀλεξανδρείᾳ ἔγραψεν εἰς Πρίαπον τούτῳ τῷ μέτρῳ, et Strabonis omnes codd. viii, p. 382 ὁ τὰ Πριάπεια ποιήσας Εὐφρόνιος, quod in Εὐφορίων ibi mutavit Mein., in *Anal. Alex.* 406 revocavit, et Hephaestioni reddere voluit. Chersonesum, ubi poeta natus est, urbem Aegyptiacam esse, haud procul ab Alexandria sitam, censent Mein. *Anal. Alex.* 342, Strecker, de Lycophrone Euphronio Eratosthene, 8 Versus 1, 2 habent Dion. Halic. *de Comp. Verb.* iv, Max. Planud. in Walz. *Rhet.* v. 491 Συμβέβηλος ὡς λέγεται (sic) . . . ἥκω. τοῦ νέου Διονύσου interpretatur Mein. de Ptolemaeo Philopatore: Prov. Bodl. Gaisford 907 ἐπὶ Πτολεμαίου τοῦ νέου Διονύσου (Διονύσου om. Diogen.) βασιλεύοντος βοῦς ἔτεκεν ἐξ βοίδια: Clem. Alex. *Protr.*, p. 16. 22 Πτολεμαῖος δὲ ὁ τέταρτος Διόνυσος ἐκαλεῖτο (ubi fortasse νέος excidit, Mein.). De metro vid. Christ., ss. 610, 611. 1 τελεταὶ Heph., Dion. Halic. *de Comp. V.* iv, Max. Plan. Veritatem aliquatenus vidit Mein. *Anal. Alex.* 343, non oportere memorari mysteria, sed mystagogos; itaque vocabulum τελέτης = τελεστής divinavit, et accentum mutavit, ut τελέται 'Mystae' significarentur. Interea latebat τελετής accentu oxytono apud Dion. Halic. *ad Pomp.* ii. s. 6 πολὺς ὁ τελετὴς ἐστὶν ἐν τοῖς τοιούτοις παρ᾽ αὐτῷ (*sc.* Platoni), ὡς καὶ Δημήτριος ὁ Φαληρεὺς εἴρηκέ που καὶ ἄλλοι συχνοί· οὐ γὰρ ἐμὸς ὁ μῦθος, ubi τελετής significat ἱεροφάντην, non μύστην, eodem pacto quo τελεστής, et accentum paroxytonum contra codicum fidem dedit Usener: sed non mutandus; cf. εὑρετής, Chandler, s. 37. Latens quoque ap. Cleanth. 548 v. Arnim, 53 Pearson, repperi

# LYRICA ADESPOTA

## 1 Παρακλαυσίθυρον

*Ἐξ ἀμφοτέρων γέγονεν αἵρεσις·*
*ἐζευγίσμεθα· τῆς φιλίης Κύπρις*
*ἔστ᾽ ἀνάδοχος· ὀδυνή μ᾽ ἔχει,*
*ὅταν ἀναμνησθῶ*
*ὥς κατεφίλει ᾿πιβούλως μέλλων*
*με καταλιμπάνειν*
*ἀκαταστασίης εὑρετὴς*
*χὠ τὴν φιλίην ἐκτικώς.*
*Ἔλαβέ μ᾽ ἔρως,*
*οὐκ ἀπαναίνομαι.*
*Ἄστρα φίλα καὶ πότνια Νὺξ συνερῶσά μοι*
*παράπεμψον ἔτι με νῦν πρὸς ὃν Κύπρις*
*ἔκδοτον ἄγει με χὠ*
*πολὺς Ἔρως παραλαβών.*
*Συνοδηγὸν ἔχω τὸ πολὺ πῦρ*

τούν τῇ ψυχῇ μου καιόμενον.
Ταῦτά μ' ἀδικεῖ, ταῦτά μ' ὀδυνᾷ·
ὁ φρεναπάτης,
ὁ πρὸ τοῦ μέγα φρονῶν, † καὶ ὁ τὴν Κύπριν οὐ
φάμενος εἶναί μοι τοῦ 'ρᾶν αἰτίαν,
οὐκ ἤνεγκε νῦν
τὴν τυχοῦσαν ἀδικίην. †
Μέλλω μαίνεσθαι· ζῆλος γάρ μ' ἔχει,
καὶ κατακαίομαι καταλελειμμένη.
Αὐτὸ δὲ τοῦτό μοι τοὺς στεφάνους βάλε,
οἷς μεμονωμένη χρωτισθήσομαι.
Κύριε, μή μ' ἀφῇς ἀποκεκλειμένην·
δέξαι μ'· εὐδοκῶ ζηλῶ δουλεύειν.
'Επιμανῶς ἐρᾶν μέγαν ἔχει πόνον,
ζηλοτυπεῖν γὰρ δεῖ, στέγειν, καρτερεῖν·
ἂν δ' ἐνὶ προσκαθῇ, μόνον ἄφρων ἔσει,
ὁ γὰρ μονιὸς ἔρως μαίνεσθαι ποιεῖ.
Γίνωσχ' ὅτι θυμὸν ἀνίκητον ἔχω,
ὅταν ἔρις λάβῃ με· μαίνομαι
εἰ μονοκοιτήσω,
σὺ δὲ χρωτίζεσθ' ἀποτρέχεις.
Νῦν δ' ἂν ὀργισθῶμεν, εὐθὺ δεῖ
καὶ διαλύεσθαι.
Οὐχὶ διὰ τοῦτο φίλους ἔχομεν
οἳ κρινοῦσι τίς ἀδικεῖ;
νῦν ἂν μὴ ἐπι[
ἐρῶ, κύριε, τὸν [
Νῦν μὲν οὔθ' ε[
πλυτης ο[
δυνήσομαι. [
Κοίτασον, ῆς ἔχ[εις
ἱκανῶς σοῦ ἐν [
κύριε, [
πῶς μ' ἀ[φῇς
πρῶτός μ' ἐπείρ[ασας

κύρι', ἂν ἀτυχ[ῇ]ς, οὐ [
ὀπυασώμεθα· ἐμῶν . . εδε[. . . . ἐπι-]
τηδείως αἰσθέσθω μ . . ταν [
Ἐγὼ δὲ μέλλω ζηλοῦν τω [
δουλ . . . . . τ' ἄν· διαφοροῦ· ἦ [
ἀνθρ[ώπου]ς ἀκρίτως θαυμάζεις
με[ ]φ[ο]ρῃ· προσίκου δ' ὠ[
θαυ[μα ὠ]χρίην κατεῖδεν ὁ
σχω[ ]τωι τοιντα η ετυ[
κου[ ἐ]νόσησα νηπία· σὺ δέ, κύρ[ιε,
καὶ [ ] [καταλελει]μμέν[ην] [ ]
λελάλ[ηκ' ἐγὼ πε]ρὶ ἐμὴν [ψυχήν.

Fragmentum Grenfellianum sive Ἀποκεκλειμένην Crusii edidit B. P. Grenfell, *An Alexandrian Erotic Fragment*, Oxford, 1896; retractaverunt Grenfell et Hunt, *Greek Papyri*, second series, pp. 209 sqq. Disseruerunt Wilamowitz, *Gött. Nachr.* 1896, iii, Crusius, *Philol.* 55, 383 sqq.; Rohde, *Opusc.* ii. 1. Ediderunt Crusius in *Herondae Mimiambis*[5], p. 124; O. Schroeder, *Euripidis Cantica*, p. 178. Nuper recensuit Walterus Scott, et iudicium suum mecum benevolenter communicavit. Numeros primus agnovit Wilamowitz, meliorem colometriam dedit Scott. Papyrus saeculi ii a. C. est; poema Plauti temporibus convenire censet Wilam.; Ἀποκεκλειμένην titulum dedit Crusius, qui Simo Magnesio licere tribuere censet (τὴν σιμῳδίαν εἰσαγαγών, Strab. 648), tanquam ἱλαρῳδίας vel μαγῳδίας exemplum; nos Παρακλαυσίθυρον. Sententiarum proprietate, stili concinnitate, numerorum varietate et elegantia, haud ignobile carmen indicatur. Conferenda sunt Παρακλαυσίθυρον anonymum in *Tebtunit. Papyris*, Grenfell et Hunt, i, pp. 8 sqq., et in *Herondae Mimiambis*, Crusius[5], p. 135 (quanquam e dochmio uno et altero fragmentum poeticum esse vix colligas), et Monodia in Rylands Pap. i, n. 15, Lyrica Adesp. infra, 38. Non monometra, ut Wilam., sed dimetra desiderat Scott, cum divisiones metri, sensus, constructionis, eaedem sint; eodem spectant hiatus post v. 4, βάλε 25, ἔσει 31, ἔχω 33: quater par dimetrorum punctis post 24, 26, 28, 30, paragrapho post 32 notatum (Scott). Metrum in maximam partem Dochmiacum liberius; nonnunquam Dochmii sumunt formam Choriambicam –⏑⏑–, velut 2, 9, 24, 25, 33, 35, 38 (Christ, *Metrik*, s. 514), apud Aristophanem, lyricorum elegantissimum, frequentem (White, s. 460); aut coniuncti sunt Anapaestis, 1, 2, 7, 8, 10, 15, 16, 39 (White, s. 471); Cretici apparent in 7, 8, 13, Paeones 11–15, 36 (Christ, *Metrik*, s. 514); Lecythium claudit 22, 40; Iambi in 3, 9, 17, 18, 33, 34, 37 (Christ, s. 516, White, 627). In vv. 41 sqq. Dochmiorum vestigia deprehendas. Synaphea hiat, sed post pausas 4, 17, 25, 31, 38, 39, 52. Paragraphos exhibet pap. post 6, 9 post ἔρως, 17, 22, 32, 36, 42, 45, 53, 62. Cum poema in tergo rationari servatum sit, videtur litterarum amans quidam materia expedita usus pro tempore descripsisse, fortasse memoriter, id quod e plurimis mendis colligendum. 1, 2 γεγον pap.: corr. W. Scott 2 post ἐζευγισμεθα: puncta, pap. φιλιης pap., non -ας 3 post αναδοχος: puncta, pap. 4 post αναμνησθω: puncta, pap. 5 ως με pap., με del. Scott. 6 post hunc versum paragraphus, pap. 'Sollicitudinis idem fuit auctor qui amicitiae' (inde inter-

punctum, Scott) 7 post ευρετης: puncta, pap., per errorem, ut censet Scott 8 φιλιην pap., non -αν: interpunxit Scott 9 ⟨μέγος⟩ ἔλαβε Schroeder: olim ⟨ἔλαβ'⟩ scripsi, sed non opus est, cf. 18 10 απαναινομαι pap. primitus, inde mutatum eadem manu in -αμαι. Inde sequuntur αὐτὸν ἔχουσ' ἐν τῇ διανοίᾳ, quae damnat Scott tanquam glossema. Hexametrum vidit Wilam., et aliunde hexametrorum continuorum exempla, sed non singulorum congessit 11 και: συνερωσαποτνια νυξ pap.: transposui approbante Scotto; cf. Meleag. *Anth. Pal.* v. 190 Ἄστρα . . . καὶ Νύξ 12 παραπέμψον με νῦν, vel παραπέμψατε, vel προπέμψατε Scott; sed ἔτι νῦν desideratur; 11–14 Paeonas cum Creticis agnosco η κυπρις pap., delevi ἡ 15 συνοδηγόν, de accentu Chandler, s. 430 18 Constructio incerta: post οδυναι: puncta del. Scott; cf. και: perperam, v. 11 19 και ο την pap.: ο del. Wilam.: ο in utroque loco del. Schroeder. De lectione et sensu totius loci non liquet 20 μοι (vel μετ)αιτιαν pap.: μοι transposui 21 οὐκ incertum εμ̣η̣ν pap. incertum: νῦν Wilam.: ἀνήνεγκε olim Crus. Vix: 'Nonne is qui Venerem in amore meo partem secum habere antea negabat, iniuriae admissae auctor fuit?' potius: 'Is qui negabat . . . nunc intulit mihi non mediocrem iniuriam.' 'Leve (τὴν τυχοῦσαν) meum peccatum non tulit,' Crus., quem sensum vetat v. 17 22 αδικιαν pap.: -ην Crus.; cf. 2, 8 25 sqq., vv. 25, 26 transferre post 27, 28 vult Scott; sed durum sonant καταλελειμμένη et ἀποκεκλειμένη in fine vicinorum versuum. 'At saltem hoc tantum: coronas tuas iace, quae me complectantur,' Scott 27 αποκεκλεικλειμενην pap. 28 ζηλωι pap.: corr. Scott, coll. Eur. Andromed. 133N ἄγου δέ μ', ὦ ξέν', εἴτε πρόσπολον θέλεις | εἴτ' ἄλοχον, εἴτε δμωΐδα, et inf. 54 29 επιμανους οραν pap.: corr. Rohde, Diels: ἐπιφανοῦς ἐρᾶν Scott 30 nolim στέργειν 31 εαν et προσκαθει pap.: ἂν Wilam. μόνον cum ἄφρων Crus., cum προσκαθῇ Wilam. 32 μονιὸς per synecphonesin μόνος est; cf. Hephaest. ii ἡ διάνεκῶς εὕδεις; Corinn. 9; negat Wilam., qui ὁ μονιὸς δ' scribit; ὁ δὲ μονιὸς Rohde 33 γίνωσχ' ὅτι formula monentis aut minantis est, ut ἴσθ' ὅτι apud Tragicos 34 ἔρις non in ἔρως mutandum; ἀνίκητον, 33, et vv. 37–40 ad iurgium spectant. Post μαινομαι, οταν αναμ[. .]σθωμαι primitus dedisse scriba videtur, vid. n. 52 inf.; inde θ in ω mutavisse, ut -σωμαι evaderet: denique in -σωμει correxisse. Sed glossema e v. 4 ductum censent Wilam. Schr. Scott 36 'si tu scortatum properas' Gaselee, Wilam. 'Tu vero meos fugis amplexus' Scott. 37 ἂν ὀργισθῶμεν Diels, Wilam., cf. νῦν ἄν 41: ἀνοργισθῶμεν, 'ponamus iram,' Grenf., 'An iterum irascamur?' Crus. 39 ἔχομεν anapaestus in hoc loco ferri potest 46 velut ἧς ἔχεις σῶμά τε καὶ ψυχήν Crus. 49 suppl. e v. 27 Crus. 51 κύρι', ἂν ἀτυχῇς Crus.: κυριονατυχ . . ς pap. fort. οὐ καταλείψω Crus. 52 ὀπνασώμεθα scripsi, quanquam verbum novum: οπνασθωμεθα pap. Formas duorum aoristorum contaminatas esse censet Mayser, *Gramm. Pap.*, p. 383: ὀπνὰς θώμεθα Crus., Gaselee εμων vel εμην pap. 58 ὠχρίην, 'pallorem', scripsi; -ιην velut 2, 8: χριαν pap.; cf. ἐνόσησα 60 61 καταλελειμμένην? cf. 24 62 ψυχήν supplevi: λαλεῖν περὶ ψυχήν eum sensum habet quem ἔλεξα τῆς ἐμῆς περὶ ψυχῆς, Aesch. Eum. 114, Eur. Hel. 946, Heracl. 984 'vitam deprecari' (iam non de sensibus loquitur, cf. 16). Suppleas e. g. κλύοις, κύριε, ἃ κτλ. Hunc finem esse poematis censet Grenf.

## 2 Mimi Fragmenta

Versus e Mimo tractos, *Oxyrh. Pap.* iii, pp. 41 sqq., edidit Crusius, *Herondae Mimiambi*[5], pp. 101 sqq. Papyrum ii saec. p. C., Mimum haud multum Παρακλαυσιθύρου posteriorem esse censent Grenfell et Hunt: aetati Romanae et papyro ipsi aequalem Schubart

ΒΑΣ. [Βά]ρβαρον ἀνάγω χορὸν ἄπλετον, θεὰ Σελή[νη],
πρὸς ῥυθμὸν ἄνετον βήματι βαρβάρῳ [προβαίνων].
Ἰνδῶν δὲ πρόμοι πρὸς ἱ[ε]ρόθρουν δότε [τυπανισμόν,
[Σ]ηρικὸν ἰδίως θεαστικὸν βῆμα παραλ[λάξ].

Versus Sotadei 88, 89 suppl. Gr. et Hunt 89 ανετωι pap.: corr. Gr. et Hunt 90 τυπανισμόν add. Crus., postea τερετισμον 91 corr. Crus.

Β. Οὗτοι μὲν ἤδη τῇ μέθῃ βαροῦνται.
Γ. Ἐπαινῶ· σὺ δέ, Χαρίτιον, δεῦρο ἔξω.
Α. Δεῦ[ρ', ἀ]δελφέ, θᾶσσον· ⟨ἆρ⟩α πάνθ' ἕτοιμα τυγχάν[ει;
Γ. Πάντα γ[ά]ρ· τὸ πλοῖον ὁρμεῖ πλησίον· τί μέλλετε;
Σοὶ [λέ]γω, 'πρωρεῦ· παράβαλε δεῦρ' ἄγων τὴ[ν ναῦν
ταχύ.
Δ. Ἐὰν π[ρ]ώτως ἐγὼ ὁ κυβερνήτης κελεύσω.
Β. Πάλι λαλεῖς, καταστροφεῦ;
Ἀπο[λ]ίπωμεν αὐτὸν ἔξω καταφιλεῖν ⟨τὸν⟩ πύνδ[ακα].
Γ. Ἔνδον ἐστε πάντες; ΚΟΙΝΗΙ. ἔνδον. Α. ὦ τάλαιν'
[ἐγὼ κακῶν,]
τρόμος πολύς με τὴν παναθλίαν κρατεῖ.
Εὐμενής, δέσποινα, γείνου· σῶζε τὴν σὴν πρόσπολον.

96 Trimeter Iamb. catal., acatal. 104 97 numeri nulli 98 sqq. Tetrametri Trochaei; correxere passim Grenfell et Hunt 98 ⟨ἆρ'⟩ ins. Crus. 101 numeri nulli; metrum consulto turbatum esse censet, ebrio gubernatore, Crus. *Herond.*[5], p. 107; olim ὁ κυβερνήτης pro glossemate habuit, et versum ita in trochaicum constituit ἢν ἐγὼ πρώτως κελεύσω. Β. πάλι κτλ. πρώτως Gr. et Hunt, -ος pap. 103 ΚΟΙ[ΝΗΙ] suppl. Wissowa

## 3 Κωμαστής

Α. Ὁ τλήμων γ]έγονεν μεθύων κατὰ τρό-
πον [εὐθ]υμῶν· πρόσεχε πρόσεχε.
Β. . . . . . . . . . . ν, Ναΐδες ἁβρόσφυροι,
. . . . . . . . . . ὑπὸ γὰρ τῶν πολλῶν προπόσεων
βακχεύων ἅ]λλομαι.
Α. Φεῦ, τλήμω]ν.
Β. Ἐπὶ δέ τινα κῶμον ὁπλίζομαι·
τραῦμα φ]ιλίης ἔχω τι παρὰ Κύπριδος ἄδηλον·
Ἔρως μ' ἔλα]β' ὁ γόης· εἰς τὴν ψυχήν μου εἰσπε-
σὼν [ποιεῖ μ]ε παραφρονεῖν.

*A.* Παροινεῖς] ἄρα· σαυτοῦ κράτει, μή τι πάθῃς.
*B.* Ἔα μ' ὁρμᾶν κ]αὶ μή με περίσπα· ὁμολογοῦ φιλεῖν ἐρᾶν·
καὶ οὐκ ἀντι[δικῶ· οὐ πάντες ἁπλῶς τὸ Παφίης
φιλοῦμεν καὶ] ἐν ἀκρήτῳ μᾶλλον; ἀνακέκαυκέ με
ὁ θεὸς ὁ Βρόμ]ιος ὁμοῦ καὶ Ἔρως, οἷς οὐκ ἀντι-
σχεῖν [δύναμαι.

Ex ostraco Aegyptiaco edidit Th. Reinach, *Mélanges Perrot*, p. 291 = Papyrus Reinach, Paris, 1905; scriptum circa 100 a. C. Ed. O. Crusius, *Herondas*$^5$, p. 137; vid. Wilam. *Gött. Gel. Anz.* 1905, 715 sqq., qui dubitat an poema sit. Sed ὁ κωμάζων B locutiones poeticas certe comminiscitur aut reminiscitur. Titulum dedit Crus. 1, 2 κατὰ τρόπον, 'ut solet', Crus., ergo non δυσθυμῶν, ut Reinach εὐθυμῶν Crus. πρόσεχε [τὸν νοῦν] Rein. Inter vv. 2 et 3 aut brevior versus periit (Rein.), aut paragraphus erat (Crus.) 3 [δεῦρ' ἐλθεῖ]ν Crus. 4 [βοηθεῖτέ μοι] Rein.: [συγχορεύειν] Crus. Metrum Choriambo-creticum suspicatur Crus., ut in frag. sequenti, sed conferas frr. 22–24, infra 6 suppl. Crus. 7 ἔπιδε, τίνα Rein.: Crus. confert Tryphiod. 85 ἐπὶ δρόμον ὁπλίζεσθαι 8 κέντρον Rein. (ἐγ)χάραγμα tentat Crus. ex Anacr. 26 B 8 10 suppl. Crus. ποιεῖ Crus.: κρατεῖ Rein. 11 suppl. Crus.: ἀλλὰ σιώπα vel εὐφήμει vel σῖγα σῖγα Rein. 12 sqq. pleraque suppl. Rein. 14 Crus. conf. Callim. Epigr. 42 Ἄκρητος καὶ Ἔρως μ' ἠνάγκασαν

## 4 Παῖς ἀλέκτορα ἀπολέσας

Frag. A

. .
]ω̣φ[
]μ̣μ̣[
]υς ὑμ[
]ις νοσ̣ο̣[
]ν̣αν[
] πολι[
] τεμ[
κα]τα ψυχ[
. . .

Frag. B

. . . . . . . . . . . . . . . . ε̣ . ρ
. . . . . . . . . . . . . . . .]ς̣ ανα . . . . . . . . . . . η̣
. . . . . . . . . . . . . .] . ε των νυ̣ . . . δ̣ . μ̣ . . . . ν
. . . . . . . . . . . . α τὴν ἰδίαν καλλονὴν
. . . . . . . . . . . σ . . . ἔχων ἐν τῇ [ὁ]δῷ

. . . . . . . . . . . . . . . . ṿτωσι . . ω̣γ . . . . ṣ
. . . . . . . . . . . . . . . . των ẹμὴν . . . ν
. . . . . . . . . . . . . . . . . . ν καὶ πολλὰ [στέ]ṿωṿ
. . . . . . σ . . ι̣λ̣ . . . . . . . ἀλέκτορά μου [δ]υνάμεθα·
. . . . τη[ρή]σας ω . . α̣σ̣ω ἐκ περιπάτου·
. . . . . ὀρν]ιθο . . . . σαι̣ π̣α̣ρ̣' ἀ̣λ̣ι̣δρόσοις
. . . . . . . κουσ . . . . νησα[ . ]τ̣α̣ τὸν βαρ̣ . . . . χηι
. . . . . . π]αιδὸς ἐ[φ]ύλασσεν ὁ φίλος μου Τρύφων
[οἷά περ τέ]κνον τη[ρ]ῶν ἐν ταῖς ἀγκάλαις.
Ἀπορο]ῦμαι ποῦ βαδίσω· ἡ ναῦς μου ἐ⟨ρ⟩ράγη.
τὸν κ]α[τ]α[θ]ύμιον ἀπολέσας ὄρνιθά μου κλαίω.
Ἀλλὰ φ]έρε τὸ ἐρνίον, τροφὴν αὐτοῦ, περιλάβω,
τοῦ μ[αχ]ίμου, τοῦ ἐπεραστοῦ, τοῦ Ἑλληνικοῦ·
χάρ[ιν τ]ούτου ἐκαλούμην μέγας ἐν τῷ βίῳ,
καὶ [ἐλ]εγόμην μακάριος ἀνδράσιν τοῖς φιλοτρόφοις.
Ψυχομαχῶ· ὁ γὰρ ἀ[λ]έκτωρ ἠστόχηκέ μου,
καὶ θακοθαλπάδος ἐρασθεὶς ἐμὲν ἐνκατέλιπε.
Ἀλλ' ἐπιθεὶς λίθον ἐμα[υ]τοῦ ἐπὶ τὴν καρδίαν
καθ[η]συχάσομαι· ὑμε[ῖ]ς δ' ὑγιαίνετε, φίλοι.

*Oxyrh. Pap.* ii, n. 219. Pap. prioris partis saec. I. Edidit Crusius, *Herondas*[5], pp. 131 sqq. 'Fragmenti oratio certis colis discripta et paene ἔμμετρος; exitus ad unum omnes cretici vel paeonici, versusque choriambo-cretici, adspersis baccheis (21) et ditrochaeis, tetrametri fere mensuram explentes', Crus. Choriambos alibi positos deprehendas in 16, 18, 20, 22, 23, 24; Paeonas in 22, 23, 24. 'Ionicos tetrametros effrenatos' appellat Crönert, *Rhein. Mus.* 64, 444. Hoc loco statuit Frag. A Crus., cum B 24 exitum poematii esse adpareat. Titulum Crus.; cf. Theop. Com. Εἰρήνη fr. 9, K i. 735 ἄχθομαι δ' ἀπολωλεκὼς | ἀλεκτρυόνα τίκτουσαν ᾠὰ πάγκαλα.

Fr. A. 1 velut ὦ φ[ίλοι] Crus. 4 velut δεινα]ῖς νόσοις Crus. 6 κατὰ] πόλι[ν? Crus. 7 τ' ἐμόν? Crus. 8 κατὰ ψυχὴν Grenfell et Hunt: κατάψυχρος vel potius καταψύχομαι Crus.

Fr. B. 2 in fine η, aut αν vel εν Gr. et Hunt 4 ιδιω[.] pap.: corr. Crus. 5 τριόδῳ Crus. 6 τοῖς ἀπαντῶσι Crus. 7 ἐμὴν τύχην Crus. 8 velut κλαίων καὶ Crus.: στένων pap. edd., aut νων aut ρων Gr. et Hunt 10 τηρήσας pap. edd. 11 ὀρνιθολόχος con. Crus. 14 οἷά περ suppl. Crus. 15 suppl. Gr. et Hunt 16 κλαιωι pap. 17 ẹρṿιọ pap.: ἐρνίο[ν] Gr. et Hunt: ἑρκίον Crus., sed quo sensu?: πῇ ἐφέρετο ἐρνίον; Ludw. Nolim ὄρνεον τροφὴν ut in Soph. O. T. 1 Κάδμου . . . νέα τροφή περιλαβωι pap. 18–20 restit. pap. edd. 20 ανδρεσ̣εν pap. φιλοτρόφοις Crus.: φιλοτροφι pap. sup. peresa: φιλοτροφίοις pap. edd. 21 ψυχομαχωι pap. 22 θακαθαλπαδος pap.: corr. Bechtel, qui nomen gallinae agnovit, et Platt, *Class. Rev.* xiii. 440, coll. Heroda, vii. 48 ὅκως νεοσσοὶ τὰς κοχώνας θάλποντες, addas Herod. i. 37 θάλπεις τὸν δίφρον Nomen onomatopoeticum

alii: ταχυθαλπάδος Postgate, *Class. Rev.* xiii. 441, coll. Geopon. xiv. 1. 3 ἐν πάσαις τεσσαράκοντα ἡμέραις κυίσκει καὶ τίκτει καὶ θάλπει καὶ ἐκτρέφει, ib. 4 θαλπούσας τὰ ᾠά: τάχα θαλπάδος Blass ἐμέν forma volgaris pro ἐμέ: Jannaris, *Historical Greek Gr.* 532 b, 535: ἐμέν non dittographia est, quod censet Crus., nam ἐγκαταλείπειν, derelinquere, amant scriptores Hellenistici 23 εματον formam vulgarem pap., Dieterich, *Unters. z. Gesch. d. gr. Spr.*, p. 78

## 5 Marisaeum Melos

⟨Γυνή.⟩ Οὐκ ἔχω τί σοι πάθω ἢ τί χαρίσωμαι·
κᾆτα κεῖμαι μεθ' ἑτέρου, σὲ μέγα φιλοῦσα;
Ἀλλὰ ναὶ τὴν Ἀφροδίτην μέγα τι χαίρω
ὅτ⟨τ⟩ι ⟨τοι⟩ σου θοἰμάτιον ἐνέχυρα κεῖται.
⟨Ἀνήρ.⟩ Ἀλλ' ἐγὼ μὲν ἀποτρέχω, σοὶ δὲ καταλ⟨ε⟩ίπω
εὐρυχωρίην πολλήν. ⟨Γυ.⟩ Πρᾶσσε ὅτ⟨τ⟩ι βούλῃ.
Μὴ κροῦε τὸν τοῖχον, ψόφος ἐγγίνεται,
ἀλλὰ διὰ τῶν θυρῶν νεῦμά σ' ἱκ⟨ν⟩εῖται.

*Painted tombs at Marissa*, J. P. Peters et H. Thiersch, 1905, p. 57; Crönert et Wünsch, *Rhein. Mus.* lxiv, pp. 433 sqq.; Crusius, *Herondas*[5], 129. Inscriptum esse circ. 150 B. C. credit Crönert. Repertum est Marisae, quae inter Hierosolyma et Gazam sita est, ad fores templi inscriptum. Non nihil ad rem confert Athen. xv. 697 B (ᾠδαὶ) αἱ Λοκρικαὶ καλούμεναι . . . τοιούτων γὰρ ᾀσμάτων αὐτοῦ (*sc.* Φίλωνος) πᾶσα πλήρης ἡ Φοινίκη κτλ. De Philone, qui circa illud tempus floruit, vid. Susem. *Gr. Litt. Alexandr.* ii. 552. Inter se vir quidam et femina constituunt: post brevem amantium iram (6, 7) amoris integratio; de interpretatione delirat Peters, pp. 74, 75. Vid. Wilam. *Griechische Verskunst*, p. 345. Metrum Ionicum a minore liberius perhibent edd.; rectius Wilamowitz, in vv. 1, 3, 5 Trochaeos agnovit, ceteroqui sensum, non numeros, scriptorem dedisse ratus; H. W. Garrod, *Class. Rev.* 1923, p. 162 recte Troch. trimetros, et in v. 2 κᾆτα pro κατὰ inscriptionis, in vv. 4 et 6 ὅττι pro ὅτι, mox ⟨ἔνθ'⟩ ἐνέχυρα, in v. 6 γ' ὅλην pro πολλήν scripsit. Inde vv. 7, 8 ita refecit, sed nimis audacter: μὴ κρότει (nempe Υ et Τ confusis) τὸ τοιχίον· ψόφος ἐγγένοιτ' ἄν· | ἀλλὰ διὰ τῶν θυριδίων νεῦμ' εἰσικνεῖται. Ipse credere malim in vv. 6, 7, 8 scriptoris vim poeticam defecisse, quod saepissime in versibus inconditis Kaibelii *Epigrr. Graec.* videas 4 τοι inserui; cf. Plat. Rep. i. 343 A ὅτι τοι . . . ante 'mordax et protervum convicium', Stallbaum Crön. confert Theocr. 2. 156 παρ' ἐμὶν ἐτίθει τὰν Δωρίδα πολλάκις ὄλπαν, et Luc. Dial. Mer. iv. 4 δεήσει δέ τι αὐτοῦ τοῦ ἀνδρὸς εἶναι, οἷον ἱμάτια ἢ κρηπῖδας. ΜΕΛ. ἔχω τὰς κρηπῖδας αὐτοῦ: sed non hic agitur de venefica 6 πρᾶσσε κτλ. mulieri dat Crönert 8 Theocr. ii. 100 ἄσυχα νεῦσον. διὰ τῶν θυρῶν, an casu evenit ut in poste recto templi, *sc.* διὰ τῶν θυρῶν, scriptum sit numeris rudibus et similibus Ἥλιος καίων Μύρων ἱερεὺς | ἐπὶ νεῦμα Καλυψοῦς (ἐπίνευμα Crön.: θεράπαινα Καλυψώ, Lucian Alex. 50), ut hic personae ipsae et νεῦμα ipsum appareant? (Wünsch). νεῦμά σ' ἱκνεῖται Crön., alii: νευμασικειται lap., causa erroris est κεῖται v. 4: congruit ἱκνεῖται praesens tempus cum tribus exemplis vv. 5, 7. Sed νεύμασι κεῖται, 'pactum est', Crusius

## 6 Helenae querimonia

Ὦ φανεὶς χάρμα μοι α′
φίλιον, ὅτ' ἔμ' ἠγάπας,
ὅτε δόρατι πολεμίῳ
τὰν Φρυγῶν
πόλιν ἐπόρθεις, μόνον
τἀμὰ κομίσαι θέλων
λέχεα πάλιν εἰς πάτραν.

Νῦν δὲ μούναν μ' ἀφεὶς β′
ἄλοχον, ἄστοργ', ἄπεις,
ἣν Δαναιδᾶν λόχος
⟨μετ⟩έμολεν,
ἧς ἕνεκα παῖδα τὰν
ἄγαμον εἷλ' Ἄρτεμις
σφάγιον Ἀγαμέμνονι.

*Tebtunis Papyri*, i, p. 3. Papyrus circa 100 a. C. scripta; poema ipsum antiquius esse potest. Fragmenta nonnulla poematis servata sunt in altera pap., p. 7. Metrum Paeonicum, saepe Paeone resoluto, Christ, p. 393, vel Creticum, ut in Hymnis Delphicis: corr. et strophas distinxere edd. 1 φανης pap. 2 φιλον pap.: correxi metri gratia 5 πολι pap.: μονα pap.: correxi metri gratia 6 ταaμα pap. 8 αφις pap. 9 αρτοργε pap. 10 δαναιδην pap. 11 μετ- supplevi metri et syntaxis gratia; ἔμολεν ⟨Ἀρήιος μέτα⟩ Wilam. ad Timoth. Pers., p. 82 13 αγαμεμνον pap., quod e sequenti irrepsit ιλε pap. 14 τον σφαγιον pap.: τον del. edd. Helenam a Menelao post reditum suum desertam non in fabulis tralaticiis esse adnotant edd.

## 7 Saltus montanus

Ξουθὰ δὲ λιγύφωνα
ὄρνεα διεφοίτα ⟨τ'⟩
⟨ἀ⟩ν' ἐρῆμον δρίος, ἄκροις ⟨τ'⟩
ἐπὶ κλωσὶ πίτυος ἥμεν'
ἐμινύριζ' ἐτιττύβιζεν
κέλαδον παντομιγῆ, καὶ
τὰ μὲν ἄρχετο, τὰ [δ' ἔμ]ελλεν,
τὰ δ' ἐσίγα, τὰ δ' ἐβώστρει·
τότ' ὄρη λαλεῦσι φωναῖς,
φιλέρημος δὲ νάπαισ⟨ιν⟩
λάλος ἀνταμείβετ' ἀχώ·
πιθαναὶ δ' ἐργατίδες σιμοπρόσωποι
ξουθόπτεροι μέλισσαι,
θαμιναὶ θέρεος ἔριθοι
λιπόκεντροι βαρυαχεῖς
πηλουργοὶ δυσέρωτες
ἀσκεπεῖς τὸ γλυκὺ νέκταρ
μελιτόρρυτον ἀρύουσιν.

*Tebtunis Papyri*, i, p. 3. Circ. 100 a. C., sed poema ipsum antiquius esse potest. Papyrus incuriose scripta est, 4, 5 ημεν . . .ετιττυβιζεν bis scripta, 6 κελαγον, 8 σιγαν, 11 μαλλος ανταμβεθ' αχωι, 12 πιθανα, λιμοπροσωποι, 14 θαυμιναι, 18 μελιτορρυτοι: corr. pap. edd. Metrum Ionicum a minore dimetrum; v. 12 trimetrum; syncope in 13, 16; 1 et 2 κῶλα προῳδικά sunt (Christ, *Metrik*, s. 576); anaclasis frequens. Fort. Citharodiam esse censet Wilam. 1 λιγυφωνα, vix ἐγγυφωνα pap. 2 διεφεταν pap.: correxi: syllabae TA lipographia est, aut A; cf. hiatum in 1, 2 3 τ' add. Blass 7 suppl. edd. 8 εβωστρευονται̣ pap. ii: εβωστευοντοτ pap. 1: fort. βωστρειν habuit pap. ii: corr. edd. 9 ὀρειχάλοισι cum ἐβώστρει, Blass 10 ναπαις pap. lipographia est: corr. edd. 12 Epitheta cumulata Pseud-Ariona sapiunt de delphinis, 7, 8, Simonid. 56 Hiller ἀηδόνες πολυκώτιλοι | χλωραύχενες εἰαριναί, Ibycum 8. 15, 16 πηλοῦργοι apes Chalicodomas Siculas et λιπόκεντροι 'nullis aculeis' vel potius 'non ad pungendum propensas' interpretantur E. B. Poulton et F. D. Morice, quibus suffragatur E. E. Genner, quod privantia sic componere (coll. λίπουρος, λιπόρρινος) soleant recentiores: κηρουργοί Herwerden 17 ἀσκελεῖς Herw. dubitanter

## 8 Aphorismi erotici

### (a)

*Ἔρωτα νουθετοῦντες ἀγνοεῖθ' ὅτι*
*πῦρ ἀνακαιόμενον ἐλαίῳ θέλετε κ[οι]μίσαι.*

*Tebtunis Pap.* i eadem, p. 4; frag. nonnulla huius distichi et trium quae sequuntur in altera pap. servata sunt p. 6, 7, suppl. edd. In trimetrum iambicum v. 2 vertit Blass

ἀνακαιόμενον πῦρ θέλετ' ἐλαίῳ κοιμίσαι.

### (b)

*ἐρῶντος ψυχὴ καὶ λαμπάδιον ὑπ' ἀνέμου*
*ποτὲ μὲν ἀνήφθη ποτὲ δὲ πάλι κοιμίζεται.*

Ibidem.

### (c)

*πίνοντ[ες . . . . ? π]οτοῦ μ[εμεθύ]σμεθα κοὐκέτι φρονοῦμεν,*
*ὁ δ' ἔρως ἐμὲ π[υρί]ναις ταῖς [.]τ̣ε̣ι . [. . . . α]ι̣ς̣ κατακέκαυκεν.*

Ibidem. Paeones sub finem versuum apparent

## 9 Pseud-Alcman

*Ἤνθομεν ἐς μεγάλας Δαμάτερος ἐννέ' ἐάσσα[ι*
*παίσαι παρθενικαί, παίσαι καλὰ ἔμματ' ἐχοίσα[ι],*
*καλὰ μὲν ἔμματ' ἐχοίσαι, ἀριπρεπέας δὲ καὶ ὅρμ[ως*
*πριστῶ ἐξ ἐλέφαντος, ἰδῆν ποτεοικότας αι̣τ̣[*

*Oxyrh. Pap.* i, n. 8. Pap. saec. i vel ii. Tres mutili versus sequente paragrapho qui praecedunt, fragmentum Florilegii indicant. 1 μεγαρ(λ sscr.)ας pap. 3 vel ὅρμοις Aeolice 4 αἴγλᾳ cum (e. g.) [λευκοτάτας χιόνος] Blass.: αἴτε vel αἴτ' ὧν Grenf. et Hunt, qui Αἴτνας, αἴγλᾳ, αὐγᾷ

(cf. Theocr. vi. 19), ἄντην vetant: quibus non placiturum esse credo ἄργῳ adiectivum. Vid. Pearsonium ad Soph. fr. 594 αἴγλῃ, cf. Philodam. Scarph. 126 ἀργαίνοντ' ἐλέφαντι: αἰνῶς Jurenka: ἄστρῳ Diels: παίσαι, ἐχοίσαι, ἔμματα, ἤνθομεν (pro -μες) formae Aeolicae. Alcman fr. 5, 12, Hiller-Crus. παρήσομες habet, sed ἤνθομες ἐς durum fuisset; ἤνθομεν (pro ἦλ-), ἐάσσαι, ποτεοικόταις Doricae; παίσαι, ἐχοίσαι (pap.) accentus Dorici. Mixta igitur dialectus Dorica cum Aeolica et accentibus Doricis. Ambigitur utrum Alcmani an Alcmanis imitatori Alexandrino fragmentum sit adscribendum. Neque forma ἤνθομεν pro -ες (aut Epica aut Aeolica, cf. Apoll. περὶ ἀντ. p. 136 Ἀλκμάν συνεχῶς αἰολίζων), neque Epanalepsis cum mensura mutata (κᾰλά, κᾱλά), neque ϝ neglectum in ἔμματα et ἰδῆν (cf. Alcm. 95 λᾶδος ἡμένα καλόν) versus Alcmani abiudicant, qui talem ὅρμον describit, fr. 52. Huic tribuunt Blass, *Neue Jahrb. f. kl. Alt.* iii, 1899, p. 44, et Weir Smyth, *Greek Melic Poets*, p. 14, sed cf. p. 204; cf. Solmsen. *Unters. z. gr. Laut- und Verslehre*, 151; imitatori Grenfell et Hunt, et Wilam. (*Gött. Gel. Anz.*, 1898, 695), *Sappho u. Simonides*, p. 79 n. quanquam ipse fatetur collegium novem virginum potius Alcmanis temporibus convenire. Epitheton μεγάλα cum Δαμάτηρ non ante Alexandrinos occurrit, et potuit Theocritus in Epithal. Helenae xviii Alcmanem sequi, cf. fr. iv. Sed rem acu tetigit van Leeuwen: ϝέμματα et ἔμματα in duobus continuis versibus apparere non credibile esse. Porro displicent Anaphorae duae. Ut traditur a Schol. Callim. Hymn. in Dem. 1 ὁ Φιλάδελφος Πτολεμαῖος κατὰ μίμησιν τῶν Ἀθηναίων ἔθη τινα ἵδρυσεν ἐν Ἀλεξανδρείᾳ, ἐν οἷς καὶ τὴν τοῦ καλάθου πρόοδον, cf. Tac. Hist. iv. 83. Nimirum virgines Alexandrinae, aut κανηφόροι aut καλαθηφόροι, et ut ait Callim. Hymn. Dem. 125 ἀπεδίλωτοι καὶ ἀνάμπυκες, Matris sacra celebrabant. Igitur Alcmanis imitatori tribuere praestat. Pseud-Alcmanicum appellat Stuart Jones Παρθενείου fragmentum infra exscriptum 26

## 10 Laudes Homeri

COL. I

. . . . .

]τειχ̣ι̣ν̣ [Ἀ]θην[ᾶ]
[γένο]ς, Αἰτωλῶν τε Ἠλ[εῖον] ἔθνος,
Δύμης τε κλυδών, γλαυκῆς τε πέλ[ας]
Λοκρίδες ἀκταί, τό τε Κρισαίων
ζάθεον τριπόδων ὑ[μ]νῳδὸν ὄρος,
Τευμησιάδ[ες] τε ἄνετοι σκοπιαί,
τό τ' Ἐριχθονίου βλάστ[ημ'] ἀρότων,
οὓς Παλλὰς ἄνασσα ἔξοχα θνητῶ[ν]
δορὶ κὰν σοφίαις ἀνέγραψεν,
[σῶ]ν πάντες, Ὅμηρε, αἰνετὸν ὕμνων
φύσιν [ἡρ]ῴων λογάσιν μερόπων
παραδεξάμενοι μεγαλύνουσιν,
τήν τ' ἀπὸ Μουσῶν ἄφθιτον αὐδήν,
ἣν σὺ μερίμναις ταῖσιν ἀτρύτοις
καθυφηνάμενος πόντος τις ὅπως

ἔπτυσας ἄλ[λο]ις    . ῡ [. . . . . . . .]ς
φωσὶν ἐπ' ἀκτάς.    Σῆς [circ. xi. litt.
ενες οὐκ ἄσοφον,
λῆμα δὲ [circ. xi. litt.]ν πυρσῷ
τῷ δι' Ὀλύμπου [circ. xi. litt.
[θ]νητῶν ὁπόσοις θέσμια [
[circ. xv. litt.]ν·    τὴν γὰρ ἐκείνων [

Pap. primi saec. Poema laudes Homeri celebrat: inter tempora Ptolemaei Euergetae ii (*sc.* circ. 170 a. C.) et Caligulae cadere censent edd. Berolin., *Berlin. Klass. Texte*, v. 2, 131 sqq., Ptolemaicae aetati tribuerim. Suppl. passim Wilam.; Anapaestici monometri sunt. 1 ἰσχὺν et Ἀθηνᾶ Wilam. 2 γένος scripsi: tantum vacat verbo Ηλ[ιον] 3 Δύμης κλυδὼν Achaea γλαυκὴ est θάλασσα, Hes. Th. 440 4 post ἀκταί: pap. interpungit 5, 6 *sc.* Phocis et Boeotia 9 interpunctio post ἀνέγραψεν significat versum catalecticum, ubi paragraphus in margine sequitur: sic in Col. ii. 23 βεβαίαν: cum paragrapho; in Col. ii. 13: vidit Schubart, ubi paragraphus margine mutilo deest 10, 11 ὕμνοι ἡρῷοι poemata Epica, Wilam. 11 aut λογάσιν παραδεξάμενοι = παρὰ λογάδων, velut Lycurgi et Pisistrati; aut αἰνέτον λογάσιν, praestantibus grammaticis; sed utrumque durum (Wilam.) 15 Wilam. conf. Aelian. V. H. 13. 22 Γαλάτων δὲ ὁ ζωγράφος ἔγραψε τὸν μὲν Ὅμηρον αὐτὸν ἐμοῦντα, τοὺς δὲ ἄλλους ποιητὰς τὰ ἐμημεσμένα ἀρυτομένους 16 [ο]ὐ[μυθητοί]ς Wilam. 17 post ἀκτάς: pap. 18 [φρ]ένες Wilam., qui sensum ita rest. σῆς δ' ἐκ μεγάλης | φρενὸς οὐκ ἄσοφον λῆμα δέδεικται | πάρισον πυρσῷ τῷ δι' Ὀλύμπου | . . . . θνητῶν ὁπόσοις | θέσμια . . . (ἡμέρου βίου θεοὶ ἔδοσαν)

## 11 Cassandrae Oracula

### Col. II

. . . . . . . . . . . .
[ὠρ]ạζομένη . . . . .
. . . . .    νύφη θύσανον
τότε . . . . . . . .
[βλ]οσụρᾶς χαίτης    τε . . . ịσα . .
. . . . . . . . .    . . . . ους
ὄλβιον ὅρκων    θạ . . .
. . . . ν̣.    ἦλ̣θ̣[ε]ν ὑπ' αụτὴν
ζεῦγλαν ἀνά[γκης,    πρ]όσπολον οἰκτρᾶς
μετὰ παρθενικ̣[ῶν    παίδων ἰ]αχῆς
μέλος οἰμώξασα,    ἵετ' ἐ[π'] ἀκτ̣ὰς
[συμμ]υρομένας
δεσπότις ἡ πρ[ὶ]ν̣    σκήπ̣[τρων ἀρχ]ὸς
δούλη Δαναῶν    ἐπὶ σημ[αί]ạς,
[δὴ] γὰ[ρ γεν]εᾶς    ὁ πα[λ]ạιὸς ἰὼν
θεσμὸς ἐ[λέ]γχει

τό[σον ὠ]δίνων σχῆμα λοχευθέν.
Τίς δ' ἥροσ' [ἐμὴν φύσ]ιν, ἢ τίν[ι δὴ]
τὸν [ὑ]π̣ὸ ζώνης δ̣εσμ[ὸν] ἔλυσεν
πότ[νι' Εἰλ]ή̣θυι⟨α⟩, Ἄτροπ[ο]ς̣ νεα[ρά;]
[Και]ρὸς ἀ̣νοίγειν̣ [τὸν ὑ]πὸ σκοτίαις
β[ύ]βλοισι λόγον κρυπ[τόν], ἀ̣νάγκη
πρὸς [φ]ῶς μ' [ἆ̣σαι] παρ' ἔμοιγε [ἥνπ]ε̣ρ
πύστι̣ν̣ θνητοῖ̣- σ[ι βε]βαίαν
ῥίζ[ωσ]εν ἄναξ σῆς ἀ̣π[ὸ φύτλης]
[εὐώ]δ̣ι̣ν̣ο̣ς̣ [μούνη̣· λυγρ]ὰν
εὗρεν ἀοιδή[ν πρὸ πυ]λῶν [ἱερῶν]
[κτ]ύπον ἀλγούσῃ χαλ[κῆς] καναχ[ῆς],
[στυγνὸν ἀ]χ̣όρδου μέλος ἀ[ρμονίας,]
μυστί̣[δα δ' ὀμφὴν ὁ] λύρα̣ συνετὴν
[μοῦσαν] ἀ̣ε̣ίσας θεσμ[ῴ̣δησεν].
Κείνων δὲ γ[έν]ο̣[υς] μέσον ἔβ̣λ̣ασ̣[τεν]
[π]ρόσχημα, πα[ρ'] οἷς τῶν εἰς ἀρετ[ὴν]
[μοῦνον] ἀνῆκ[εν] το̣ὔνομ', ἑκάσ̣του δ'
ἔργου [λε]ί̣[ποντο. Ο]ὗς δ' ἀπ' ἐκείνων
λόγο̣ς [ἱσ]τ̣ορίας̣ [σῆς] ὑ̣ποβάλλει,
νῦν τρανο[τέρως] . . . . .

Loqui videtur Cassandra de Hecuba, mox de se ipsa (v. 20 sqq.): *κείνων δὲ γένους μέσον* (v. 31) sunt *οἱ ἀμφ' Ἀλέξανδρον*: in v. 22 *πάτερ* scribit et Priamum significari credit Wilam., negat K. F. W. Schmidt, *Woch. Klass. Phil.*, 1908, 461, et coni. *ἔμοιγ' ἥνπερ*: quamquam alibi in pap. post pedem primum (at non post monometrum) exhibetur elisio. Ante v. 1 paucae tantum litterae servatae sunt. Versus passim corr. Wilam. 2 *νύφη* scripsi: *συννυφῆ* vel *παννυφῆ* Wilam. Sed *νύφη* idem esse ac *νύμφη* docet *ὡραζομένη*, et *βλοσυρᾶς χαίτης* de Hecuba, olim nova nupta, postea captiva, intellego. De hac forma *νύφη* vid. P. Kretschmerium in Kuhnii *Zeitschr.* 29, 435, 'Dialekt d. Attisch. Vaseninschriften'; exempla nasalium *ν* et *μ* elisorum, velut *νύφη*, Νυφόδωρος, Ἀφιάρεως, Ἀφιτρίτη e lapidibus et papyris contulit Dieterich, *Unters. Gesch. Griech. Spr.* p. 115  4 explevit Schubart  8 *πρόσπολον* cum *μέλος* iungit Wilam.  12 *ἢ*] *ην* pap. per errorem  13 *επισημ* . [.] *α̣ς̣* pap.: *ἐπὶ σημ[αί]ας* (*sc.* signa militaria) Wilam.: *ἐπίσημος* Schubart  14 *σῆς* Schubart  17 *ἐμὴν* vel *σὴν* Wilam. qui confert Eur. Tro. 766 sqq. *ἥτινι* Schmidt  21 *αναγκηι* pap.: corr. Wilam.  22–36 tentavit Wilam. qui *ἆ̣σαι*. *Παρ' ἔμοιγε, πάτερ* scripsit, cui obstat *σῆς εὐώδινος*: *ἥνπερ* K. F. W. Schmidt  23 *θνητοι̣ς̣* [. . .] *βαιαν*: unde *θνητοῖς* [*πᾶσι βε*]*βαίαν* Wilam., sed spatium vix sufficit, et cum paragraphus et interpunctio: significent versum catalecticum, vid. n. Col. i. 9, hic scribere praestat *θνητοῖσι βεβαίαν*, quod et Schubart scripsit  24 *ἄναξ*

Apollo est 25 πό]λ̣ιν ὃς Schubart 27 sensus est: 'Cum sola armorum strepitum horrescerem, Phoebus mihi divinationem confirmavit. At Priamidae, specie insignes, nomen Virtutis, non opus, tantum norant.' 30 θεσμ[. . . .]: pap., paroemiacus desiderari videtur; cf. 23 sup.; paragraphus quidem non sequitur, sed margo mutilus est: θεομ̣[ legi posse ait Schubart, itaque fort. θεόμαντις vel -ιν legendum 31 *sc.* ἀνὰ μέσον τῶν Πριαμιδῶν Wilam., potius 'mediocre decus' K. F. W. Schmidt γένους scripsi: γένος edd. 32 ita explicat Wilam. παρ' οἷς τῶν εἰς ἀρετὴν ἀνηκόντων τοὔνομα μόνον ἦν 33 ἀνῆκεν K. F. W. Schmidt: ἀνήκει Wilam.

## Choliambi Anonymi

### 12

Praeter versus quos Bergkius ii. 516 exhibuit, duo Σκαζόντων fragmenta collegit W. Headlam, *Class. Review*, xiii. 156 quae Aeschrioni tribui posse censet:

Ζῷον ἐν πυρὶ σκαῖρον

Cram. *Anecd. Gr.* ii. 371, 480, 483, de salamandra

### 13

⟨Τέρψιν⟩ ἣν χαρίζονται νύκτες (vel νύκτες ἣν)

Ib. 480 ἣν νύκτες χαρίζονται· νυκτεριναὶ σωμάτων συνουσίαι

### 14

Tertium addidit Robinson Ellis, *Journal of Philology*, xxi. 25

Ἀνθρωποειδὲς θηρίον ὕδατι συζῶν

Phryn. Bekk. p. 5, 21 ἀνθρ. κτλ. ἐπὶ τοῦ Γλαύκου ἀναφανέντος ἐκ τῆς θαλάσσης· Αἰσχύλος. Nauck, *T. F. Aesch.* 26: non Aeschylo, sed grammatico Aeschyleum versum, qui excidit, interpretanti tribuit Dindorf. Αἰσχρίων R. Ellis, coll. Schol. Tzet. Lycophr. 688 μέμνηται δὲ αὐτῶν καὶ Αἰσχρίων, ubi codices multi Αἰσχύλος exhibent. Alia congessit E. Diehl, *Anth. Lyr.*, pp. 302–4.

### 15

*Etym. Gud.* s. v. Ἀνθηδών. Ἀνθηδών· ἡ μέλισσα παρὰ τὸ τὰ ἄνθη ἐνδεῖν ἐν αὐτῇ.

Ἁπλὰ γὰρ τρυγὸς γλυκ⟨ε⟩ίης ἣν ἔτικτεν Ἀνθηδών.

Ἐνδεῖν in ἔδειν corrigendum ex *Etym. Gen.*, ἀνθηδόνες· αἱ μέλισσαι παρὰ τὸ τὰ ἄνθη ἐδεῖν. Nonvult Wilam. μέλισσα ⟨ἡ πόλις Βοιωτίας⟩ παρὰ τὸ τὰ ἄνθη ⟨μὴ⟩ ἐνδεῖν ἐν αὐτῇ, verum regionis nomen postulant verba ἐν αὐτῇ, ac potius πόλις Βοιωτίας ἢ μέλισσα. ⟨Ἱππῶναξ⟩ ἐν α' πλέα γὰρ τρυγός tentat Wilam. ex. grat. Duris translationibus gaudet Aeschrio; vid. Waltz. *Rhet. Gr.* iii. 650, Wilamowitz, *Sitzungsb. d. preuss. Akad.*, 1918, p. 1163, de Aeschrione

## 16–21 Scolia

Pap. quae fragg. sex haec sequentia continet circa 280 a. C. scriptam esse censet Wilam.; edita est in *Berlin. Klass. Texte*, v. 2. 56 sqq. Poemata saec. iv a. C. tribuunt edd. Berolin. (anno circa 300 a. C.), Σκόλια vocant. 'Miles mercennarius nescio quis qui Elephantinae tendebat, haec mele in usum conviviorum exscripsit'. Edd. Berol.

### 16

[· . . . .]αι θυγάτη[ρ . .

· · · ·

## 17

[ἄ]πλε[τ]α σῖτα φέρων [. .

. . . . .

## 18 Μοῦσαι

[. .] αμοιτεμενη β[. . . . . . . . .]ων [

Titulus in margine scriptus est. In α μοι τεμένη divisit Wilam. Optativum (-οιτε) desidero: fort. [ἀτ]άλλοιτέ μ' ἐν ἥβῃ: ΛΛ = Μ. Cf. Hes. Op. 130 ἐτρέφετ' ἀτάλλων. Idem metrum exhibet Scolion ap. Athen. xv. 695 D ἰθ' σύν μοι πῖνε, συνήβα, sc. Asclepiadeum

## 19 Εὐφωρατίς

Ἐγκέρασον Χαρίτων κρατῆρ' ἐπιστε-
φέα κρύφιόν τε πρόπινε λόγον.
Σήμαιν' ὅτι παρθενικῶν
ἀπείροσι πλέξομεν ὕμνοις
τὰν δορὸς ἥματι κειραμέναν Τροί-
αν κάτα τὸν παρὰ ναυσὶν ἀει-
μνάστοις ἀλόντα νυκτιβάταν σκοπόν.

Ibidem. Titulus Εὐφωρατ[ίς] vel Εὐφωρατ[ώ] in margine scriptus est. Edd. Berol. reddunt 'Pulcra Laverna speculatorum': Εὐφωραλεία K.F.W. Schmidt, qui vestigia potius litterae Λ agnovit, coll. Ἀγελείη, et γρῖφον esse contendit (v. 2), vel Scolion Atticum saec. iv, cum artificiosa dictione, e.g. Timothei; cf. 20 inf. Metrum Dactylo-epitrit. (Wilam.), et dactylicum; versus distinxi. In fine dochmius. Aliter Schroeder in *Berl. Phil. Woch.*, 1907, 1446. 1–3 legit et supplevit Wilam. 2 [.]ροπι[.]ε [. .]γον pap.: suppl. Schubart, sc. γρῖφον 3 παρθενων pap.: correxi 5 δορὸς ἥματι scripsi, cf. K 372–378: δορισωματι pap.: δορὶ σώματι frustra defendit Wilam. 6 τρ[. .]αν και[.]ον pap.: suppl. Wilam. 7 σκολοπον pap. primitus, sed λο erasit scriba: Dolon significatur

## 20 Μνημοσύνη

Ὦ Μουσ[ᾶν] ἀγανόμματε μᾶ-
τερ, συνεπίσπεο
σῶν τέκνων [ἁγν]ῷ [γόν]ῳ.
Ἀρτι βρύουσαν ἀοιδὰν
πρωτοπαγεῖ σοφίᾳ
διαποικίλον ἐκφέρομεν.
[Νῆά τ]οι τέγξαν Ἀχελῴου δρόσ[οι·]
[παῦε] παραπροιών, ὑφίει πόδα,

λῦ' ἑανοῦ πτέρυγας, τάχος ἵεσο
λεπτολίθων [. . . . .]ν.
Εὖ· καθόρα πέλαγος· παρὰ γᾶν
ἔκφευγε Νότου χαλεπὰν φοβερὰν
[διαπο]ντοπλανῆ μανίαν.

Ibidem. Titulus in margine scriptus est. Numeri Dactyl., immixtis Troch.; stilum ambitiosum aetatis Timothei agnoscas. 1 Ὦ Μουσᾶν ἀγανόμματε Crusius, K. F. W. Schmidt, *Woch. Klass. Phil.*, 1908, p. 430: ὦ Μοῦσ' ἀγανόμματε pap.: Μουσᾶν om. ὦ Wilam. 3 suppl. Wilam. 4 αωιδαν pap. 7, 8 suppl. Wilam. 8 ἕρμα suppl. K. F. W. Schmidt: πέρα πρωιῶν Wilam. 10 ἐπ' ἀγῶν Wilam., sed displicet metrum ⏑ — — et num plural. An ἐπ' ὄχων, 'navium stationes'? 11 duplicem interductum: post εὖ acclamationem comissatorum significare credit Wilam., qui cum poemate confert Scolium de re nautica ap. Athen. xv. 695 13 suppl. Wilam. vid. P. Maasium et Crusium, *Litt. Centralbl.*, 1907, 1319

## 21

Χαίρετε συμπόται ἄνδρες ὁμ[ήλικες, ἐ]ξ ἀγαθοῦ γὰρ
ἀρξάμενος τελέω τὸν λόγον [ε]ἰς ἀγ[αθό]ν.
Χρὴ δ', ὅταν εἰς τοιοῦτο συνέλθωμεν φίλοι ἄνδρες
πρᾶγμα, γελᾶν παίζειν χρησαμένους ἀρετῇ,
ἥδεσθαί τε συνόντας, ἐς ἀλλήλους τε φ[λ]υαρεῖν,
καὶ σκώπτειν τοιαῦθ' οἷα γέλωτα φέρει.
Ἡ δὲ σπουδὴ ἑπέσθω, ἀκούωμέν [τε λ]εγόντων
ἐμ μέρει· ἥδ' ἀρετὴ συμποσίου πέλεται.
Τοῦ δὲ ποταρχοῦντος πειθώμεθα· ταῦτα γάρ ἐστιν
ἔργ' ἀνδρῶν ἀγαθῶν εὐλογίαν τε φέρει.

Ibidem. Scoliorum tanquam ἐπίλογος. Supplevit Schubart. 6 φέρει recte Wilam., quamquam οἷα c. inf. usitatum: φερειν pap., N parasiticum saepe in fine vocabuli additur in papyris, Mayser, *Gramm. Pap.*, p. 197 9 ποταρχεῖν novum vocabulum est 10 φερειν pap., nimirum a v. 6 ductum

## 22 Fragmenta Dithyramborum

Ἔνθα δὴ ποικίλων ἀνθέων ἄμβροτοι λείμακες
βαθύσκιον παρ' ἄλσος ἀβροπαρθένους
εὐιώτας χοροὺς ἀγκάλαις δέχονται.

Ap. Aristoxenum (Grenf. et Hunt) περὶ ῥυθμικῶν στοιχείων, in *Oxyrh. Pap.* i, no. 9; Rhythmicum Anonymum, mavult Stuart Jones: pap. partis est prioris saeculi iii p. C., sed saeculi quarti ante C. fragmenta esse videntur. Metrum ⏗ ⏑ —, Δάκτυλος κατ' ἴαμβον (⏑–⏑–, velut εἔνθα δὴ ποιοικίλων) ab auctore post corr. appellatur, et ab Aristoxeno ap. Aristid.

Περὶ μουσ. 39; (Ditrochaicum cum syncope, von Jan, *Berl. Phil. Wochenschr.*, 1899, p. 478) vid. Reinach. *Rev. Etudes Grecques*, xi. 407 et de omnibus fragmentis 399 sqq. Aliter Wilam. *Gött. gel. Anz.*, 1898, 698 sqq. et *Hellen. Dicht.* 67, 294

23

Ὅστις εὐθυμίῃ καὶ χόροις ἥδεται

ibidem. Metrum idem. Propter Ionicam formam εὐθυμίῃ dubitat Wilam. num sit Dithyrambi fragmentum; certe Ἰάδος aliquid in Bacchylidis Ἐρωτικοῖς deprehendas

24

⟨Ὦ⟩ φίλον ὥραισιν ἀγάπημα θνα-
τοῖσιν ἀνάπαυμα μόχθων

ibidem. Metrum Choriambicum cum syncopis, et resolutione in pedibus secundo et quarto: in primo pede syllaba longa desideratur: ὦ addidi, quod excidit post ἐν τῷ (sc. ἐν τῷ Φίλον κτλ. pap.): idem coni. Reinach, von Jan in opp. supra cit. De vino interpretatur Diehl. Hoc et proximum frag. eidem poemati libenter tribuerim. Contra Rhythmicum Paeonas agnovit Wilam. *Gött. gel. Anz.*, 1898, p. 699

25

Φέρτατον δαίμον' ἁγνᾶς τέκος
ματέρος, ἂν Κάδμος ἐγέννασε ποτ' ἐν
ταῖς πολυόλβοισι Θήβαις.

ibidem. Metrum idem. 3 πολυολβοισιν man. prima, ι sscr. secunda (i. e. πολυολβιοις): corr. metri gratia Grenfell et Hunt, Reinach

26 Παρθένειον

Βᾶτε βᾶτε κεῖθεν, αἰ δ'
ἐς τὸ πρόσθεν ὀρόμεναι·
τίς ποθ' ἁ νεᾶνις; ὡς
εὐπρέπης νιν ἀμφέπει . . . .

ibidem. Haec Lecythia Dithyrambo tribuunt Grenf. et Hunt; rectius Παρθενείῳ pseud-Alcmanico Stuart Jones; cf. frag. pseud-Alcmanicum supra exscriptum, Lyr. Adesp. 9. Secundum Rhythmicum Anonymum numeri Iambici; Trochaicos mavult von Jan, *Berl. Phil. Woch.*, 1899, p. 479. 1 αἶδ' Wilam. sine distinctione 3 ποθε man. prima, α sscr. ε secunda: νεᾶνις fort. Dionysus, Grenf. et Hunt, cf. Aesch. fr. 55 ποδαπὸς ὁ γύννις; sed vid. supra

27 Fragmenta Phalaecea

Ap. Incertum de Metris, in *Oxyrh. Pap.* ii, no. 220; Hephaestionis editioni add. Consbr., pp. 403 sqq. Pap. prioris partis est saec. ii; fragmenta adespota sunt; Metrum frag. i, ii, iii Phalaeceum (Heph., p. 33. 1 Consbr.); frag. iv metrum Παρθένειον appellat scriptor, ◡◡– ¦ –̆◡̆ | ◡–̆

i

Ἡ Λῆμνος τὸ παλαιὸν εἴ τις ἄλλη

28

ii

[Εὐξά]μην τάδε τοῖς θεοῖς ἅπασι.

29

iii

Πτέρα δ' ἄγνα παρ' Ἔρωτος Ἀφρόδειτα.

Accentus Aeolicos dedit Leo. τὸ Ἀφροδίτα παρὰ μὲν Αἰολεῦσι πρὸ δύο ἔχει τὸν τόνον Herod. i. 6, L

30

iv

⏑̣ ⏑] παρθένον κόρην.

## 31 Ἐπῳδοί

Col. I

. . . .

] . . . . [
]τ̣ι̣ν̣
θη]ρὸς ἀγρίω μένος
]
]ν̣ιν κατάρροον
]
κα]ί̣ με δικτύοις
]
]ον· ὦ Παλαίμονες
]
] τὸ θηρίον·
]
]ον· ὦ Παλαίμονες
]
] ἄ̣π̣ωθε τὸν φθόρον

Col. II

. . .

ποττὰς ἱ̣ερὰς βλ̣[
καὶ τύχ' ἀμπυρίξ[ας.
ἔληγ' ὁ μῦθος· κα[ὶ
πυρδάνῳ 'πὶ λεπ[τῷ·
κἠγὼ 'π' ἐκείναν [
ταῖς ἐμαῖς ἐπῳδα[ῖς·
οἱ δ' εἶπαν [. .]ν̣ε̣[
μὴ τύ γ' αὖτις ἔνθ[ῃς·
ἦ· καί με πόντον [
ἦνθε σαυνιάστα̣[ς·
ἔρριψαν αὖθι δ' ἐξ ἁλὸ[ς
π̣αρβάλον καταγρ[
ἐκ τᾶς θαλάσσας τ[

*Oxyrh. Pap.* iv, n. 661. Pap. partis posterioris saec. ii. Poema aetati Hellenisticae trib. Wilam. et metrum Ithyphallicum agnovit. Fortasse Callimachi est, qui eodem metro sed dialecto Aeolica usus est, frag. 117 (Blass); negat Wilam. 3 ἀγρίω Blass: ᾱριω (sscr. γ α̣ι̣) pap., i.e. ἄγριαι 9 cf. Τρίτωνες Lyr. Adesp. 32. 2 16 ποτας pap. = ποττάς, ποτὶ τὰς 17 τύχ' ἀμπυρίξας, 'effecit ut ignem accenderet', Wilam. 19 πυλεπ[ pap.: corr. Wilam. 23 ἔνθῃς edd.: ενθ (sscr. ν), λ deleto pap. 24 ἦ plural. ut Dorice ἦν pro ἦσαν, falsa analogia, censet esse Wilam. πόντον edd.: πιτουτον (sscr. ν) pap. ιτ et υ deletis 25 ηνθχε, χ deleto pap. 27 π.ρκαλον (sscr. β) pap., deleto κ: παρβάλον vel πῦρ βάλον

edd. Potius κατ' ἄγραν, 'more praedae' quam κατάγρ[η] = καθῄρει. E. Maass (*Hermes* 58, 175 sqq.) nuper coniecit fabulam Britomartis, sive Dictynnae a piscatoribus in retibus servatae, dum Minois (φθόρον v. 16) vim fugeret, fragmentum continere (Callim. H. in Art. 190 sqq., Anton. Liber. xl, Ciris 297 sqq.), unde ita corrigit: ἀπωθέετον v. 15, βάσσας v. 16, πέρκαλον κατάγραν 27 'pulcerrimam praedam', τὸ πῦρ ἐναυσάμαν v. 18 addit, et v. 21 τῶν φόβων ἰασάμαν, et v. 24 Ποντόνοος ἀνὴρ ἐπ' ἐγγύθεν: v. 17 τύχε Imperativum esse, v. 26 δ' (sic) τέσσαρες significare censet, v. 28 τὸν δυσώνυμον ὤλεσαν κτανόντες Ἀνδρομήδεα explet; quae fidem non faciunt.

Fragmenta duorum Paeanum, *Oxyrh. Pap.* iv, no. 660 et 675, fortasse aetatis Ptolemaicae, nimis lacera sunt quam ut exscribantur. De ceteris Lyricorum fragmentis vid. Wilcken., *Archiv für Papyrusforschung*, v. 4. 549 seq. Haec quoque aut nimis lacera sunt quam ut promantur, aut notis auctoribus vel Romanae aetati referri possunt. *Pap. Rylands* 14 videtur esse Pindaricum. *Pap. Oxyrh.* iii, n. 420 et *Pap. Hallensis*, Dikaiomata (1913) Sapphicum; *Pap. Oxyrh.* vi. 860 fortasse Bacchylideum, *Pap. Rylands* 23, 34 anonyma sunt

## 32–8 Epimetrum

## Lyricorum recentiorum specimina.

### 32 Nautarum Cantilena.

*Ναῦται βυθοκυματοδρόμοι,*
*ἁλίων Τρίτωνες ὑδάτων,*
*καὶ Νειλῶται γλυκυδρόμοι*
*τὰ γελῶντα πλέοντες ὑδάτη,*
*τὴν σύγκρισιν εἴπατε, φίλοι,*
*πελάγους καὶ Νείλου γονίμου.*

*Oxyrh. Pap.* iii, n. 425. Pap. saec. ii aut iii fort. Puer quidam in ludo litterarum descripsit. Metrum Anapaesticum monometrum, sequente Paeone quarto; in v. 6 non Choriambus in fine est, quem invenit Crönert, *Rhein. Mus.* 64, 445; rectius docuit Grenfell ad *Oxyrh. Pap.* xi, n. 1383, quod infra sequitur; ergo Νείλοῦ. 2 Cf. ὦ Παλαίμονες, Lyr. Adesp. 31. 9 4 ὕδατα olim edd.: ὑδάτη revocavit Grenfell, *Ox. Pap.* xi, p. 236, ut usus iambi paroxytonici in fine versus hic, ut in Pap. Amherst 2, servetur. Σύγκρισις est vitarum quas agunt nautae dulcis Nili et salsi maris, non aquarum confluvium; de talibus comparationibus scripsit Hense, *Die Synkrisis in der antiken Literatur*, 1893. Cf. frag. Apoll. Rhod. 2

### 33 Ῥοδίοις ἀνέμοις

*Ῥοδίοις ἐκέλευον ἀνέμοις*
*καὶ μέρεσι τοῖς πελαγίοις,*
*ὅτε πλέειν ἤθελον ἐγώ·*
*ὅτε μένειν ἤθελον ἐκεῖ,*
*ἔλεγον μέρεσιν πελαγίοις·*
*Μὴ ⟨⏔ ⏑⟩ τυπῇ τὰ πελάγη*

ἄλ' ὑποτάξατε ναυσιβάταις.
Ὅλος ἄρ' ἄνεμος ἐπίγεται·
ἀπόκλειε τὰ πνεύματα, καί, Νύξ,
δὸς τὰ [ὕδ]ạṭα εὔβατα.

*Oxyrh. Pap.* xi, no. 1383. Circa A.D. 250–280. Pap. Amherst 2 Hymnum Christianum Acrosticis fere eodem metro conscriptum exhibet. Titulus in margine oblique scriptus est. 1 Ροδιοις ανẹ[μοις]. Demonstravit Grenfell accentum, non mensuram, servari; unde με̄ρεσι, πλε̄ειν, με̄νειν ἄ̄λ', καί̆ (9). Vide cantilenam praecedentem. Conferendi sunt versus in Hadriam scripti, Νέος Ἑλληνομνήμων, 1906, p. 6. Mensurae καί exempla e prosa oratione sumpta dedit Draheim; vid. ad fin. 2 σοις pap.: corr. Grenfell 6 vel μὴ ⟨⏑̲⏑̲⟩ (an μὴ ⟨μὴ⟩?) τύπτετε, vel μὴ τύπτετε ⟨–⟩ Grenf. 8 ἐπιγελᾷ, 'adrideat', K. F. W. Schmidt 9 απεκλειε pap.: corr. Grenf. 10 deest ⏑ – post ὕδατα aut εὔβατα: pro ὕδατα νοτερὰ vel νότια K. F. W. Schmidt.

Contra doctrinam metricam Grenfellii metrum Trochaicum cum Creticis malunt agnoscere K. F. W. Schmidt, *Gött. gel. Anz.*, 1918, p. 123, et Draheim, *Woch. Kl. Phil.*, 1918, p. 310

## 34 Hymnus in Fortunam

Πọλύχροε ποικιλόμορφε πταṿọ́[πους θεὰ]
θνατοῖς συνομέστιε, παγκρατὲς Τύχα,
πῶς χρὴ τεὰν ἰσχύν τε δεῖξαι καὶ φ[ύσιν];
τὰ μὲν ὑψιφαῆ καὶ σέμν' εἰς τεὸν ὄμ[μα . .
ὑπήρικας κατὰ γᾶν νέφος ἀμφιθηκαμέν[α σκότιον],
τὰ δὲ φαῦλα καὶ ταπεινὰ πολλάκις πτερο[ῖ]ς
εἰς ὕψọṣ ἐξάειρας, ὦ δαῖμον, μέγα.
Πότερόν σε κλῄζωμεν Κλωθὼ κελαιν[άν,]
ἢ τὰν ταχύποτμον Ἀνάγκαν,
ἢ τὰν ταχὺν ἄγγελον Ἶριν ἀθανάτων;
πάντων γὰρ ἀρχὰν καὶ τέλος πάντων ἔχεις.

*Berlin. Klass. Texte*, v. 2. 142. Pap. saec. iii ab homine illiterato scripta, velut συνομεσθιε (2), εισχυν (3), υψιπαη (4), παυλα (6), πτελοις (6), εξαιλος (7), ποτελον (8), γελαιν[αν] (9), ιρεν (10). Eidem aetati trib. Christ, *Gr. Lit.* ii. 795. Numeri incerti: Iambicos excussere edd. vv. 3, 6, 7, 11, sed 1 et 2 Dactyl. cum Troch., cf. Lyr. Adesp. 20 supra. Cf. Bergk. *P.L.G.*[4] iii. p. 732 Τύχα, μερόπων ἀρχά τε καὶ τέρμα. 1 πολύχροε K. F. W. Schmidt, *Woch. Klass. Phil.*, 1908, p. 462: πọλυχιροε pap.: πολύχειρε Wilam. πτανόπους θεὰ Schmidt. 3 ṭεαν ṭ fort. π in fine versus, unde π[ύσιν] = φύσιν Wilam., qui secundum τεὰν damnat 4 ἐς δέον ὁμαλόν Schm.: δεον pap. 5 κατα γαν pap.: ποτὶ γᾶν in textu suo Wilam. neglegenter, ut videtur: suppl. Wilam., qui ἐρείπειν non ἐρείκειν poetam voluisse credit 6 πτεροῖς Crusius: πṭẹλọ.σ pap. 7 μεγαλα pap.: correxi 10 ταχυάγγελον, nomen, Schm. 11 πάντων P. Maas, *Lit. Centralbl.*, 1907, 1310: ἐς αἰῶν' Schm. αγịọν pap.: fort. ἄκρον Wilam.

## 35 Mesomedes, ut videtur

### Εἰς τὴν Φύσιν
### Πυθαγόρου

Ἀρχὰ καὶ πάντων γέννα,
πρεσβίστα Κόσμου μᾶτερ,
καὶ Νὺξ καὶ Φῶς καὶ Σιγὰ
ἃ φρουρεῖς πάντας μύθους,
ἠδ' ἀγγέλλεις τοὺς Ζηνὸς
παῖδας κυδίστῃ 'Ρείῃ,
δέχῃ γὰρ πάντας μύθους
μειλικτοὺς ἀνδρῶν ἔργοις,
καί μοι πρῶτον μὲν ψυχὰ
ὀρθὰν βαίνοι πρὸς γραμμὰν
ἀψευδοῦς γλώσσης ῥύμῃ.
Γυίων δ' ἀσκηθεῖς αὖθις
γόμφοι τ' εἶεν καὶ ταρσοὶ
ζωᾶς ἐς μέτρον τᾶσδε.
Σὺ δ' ὦ λαμπραῖς ἀκτῖσιν
γαῖαν πᾶσαν πυρσεύων
Αἰὼν ἀσβέστων φλογμῶν,
ταῖς σαῖς δέρκευ με γλήναις
χεύων ὁλκὰν εὐαγῆ
τῷ σῷ, Παιάν, βακχευτᾷ,
εἰς σὲ ζωὰν γὰρ τείνω
γυίων ἐνναίων ῥευστοῖς·
οἴκτειρον τόσσον, Τιτάν,
ἀνθρώπου δειλοῦ δεσμόν.

Hunc et proximum Hymnum e codice Vaticano, Ottoboniano 59, fol. 31–33, edidit Sp. Lambros, Νέος 'Ελληνομνήμων, 1906, pp. 3 sqq.; correxit et notas adiecit A. Delatte, *Musée Belge*, 1913, 135 sqq.; nuper Wilam. in *Griech. Verskunst*, p. 596, qui Mesomedi fort. recte tribuit. Textui praescripsit manus secunda *εἰς τὴν φύσιν Πυθαγόρου. ὁ ποὺς προκελευσματικός, ὁ ῥυθμὸς ὀκτάσημος, ὁ τρόπος Λύδιος*: metrum simile, sed sine trochaeis exhibet Hymn. in Attin ap. Orig. (Hippol.) *adv. Haeret.* v. 9, Bergk, *P.L.G.* iii, p. 686; cf. Paeana papyro servatum, post 156 p. C. numeris Spondaicis scriptum et notis musicis instructum (*Sitzungsb. k. preuss. Akad.* 1918, no. 36). Moris erat Gnosticorum placita sua philosophorum celeberrimorum nominibus commendare. In vv. 1–14 orat poeta Naturam ut primum animi deinde corporis integritas cultori suo accedat. Omnino conferendi sunt Procli Hymnus in Solem, i, et Orph. Hymn. in Naturam,

x. Poema saeculo tertio vel quarto p. C. tribuit Del. 2 *μῆτερ* cod.: correxi, sed formae Atticae in vv. 5, 6, 11 fortasse non sunt mutandae; *μήτηρ* Wilam. 3 Silentii divinitas Gnosticorum (praesertim Aegyptiorum) doctrinam sapit; Hippol. *adv. Haer.* vi. 29 et 31 4 *πάντα μῦθε* cod.: corr. Wilam. 6 *κυδιστηρείη* cod.: corr. Del. 10 *πρὸς γραμμὰν* scripsi, item Wilam.: *πρόσγραμμα* cod. 11 *ῥύμη* cod.: corr. Del. 12 *αὖθις ἀσκηθεὶς* cod.: transp. Wilam. 13 *τε* Del.: *δὲ* cod. 17 *Αἰὼν* Sol est; exempla plurima e libris magicis contulit Del. 19 cf. Procli Hym. 1, 40, 41 *ὁλκὸν* cod.: corr. Wilam. 20 *Παιάν* Sol est, Timoth. fr. Bergk 13, Hymn. Orph. viii. 12 *βακχευτά* cod.: corr. Del. 22 *ῥευστοῖς*, sc. membris caducis, feliciter Wilam., cf. *ἁβρὰ παρηίδος* Eur. Phoen. 1486: *ῥάστοιο* cod. 23 *τόσον* cod.: corr. Wilam.

## 36 Mesomedes, ut videtur

## Εἰς τὴν Ἶσιν

*Εἷς ὕμνος ἀνά τε γᾶν*
*ἀνά τε νηῦς ἁλιπόρους*
*ᾅδεται· πολυτρόποις*
*ἓν τέλος ἐν ὀργίοις*
*ἁ βαθύκερως Ἶσις,*
*ἅτ' ἔαρος ἅτε θέρεος*
*ἅτε χείματος ἄγει*
*νεογόνους ἡνίας.*
*Τὺ καλεῦσι πῦρ Ἄϊδος,*
*ὁ χθόνιος Ὑμέναιος,*
*αἱ φυτῶν ὠδῖνες,*
*οἱ Κύπριδος Ἵμεροι,*
*τὺ νηπιάχου γονά,*
*πῦρ τέλεον ἄρρητον,*
*οἱ Ῥέας Κούρητες,*
*ὅ τε Κρόνιος ἄμητος.*
*Ἄστεα διφρηλάτᾳ*
*πάντα δι' ἀνακτόρων*
*Ἴσιδι χορεύεται.*

Haec verba textui praescripsit manus secunda: *ἡ συζυγία πυρρίχιος καὶ ἴαμβος· γένη δύο· ἴαμβος διπλάσιον καὶ πυρρίχιος ἴσον· ὁ ῥυθμὸς δεκάσημος. ὑπολύδιος ὁ τρόπος, διπλασίονα* cod.: corr. H. Stuart Jones, Wilam.: Aristides p. 36, Aristox. *Ῥυθμ. Στοιχ.* s. 298, 300 Mor. de generibus simplici et duplo, Christ, *Metrik*, s. 81. Hymnum indidem atque priorem sumptum ediderunt Lambros et Delatte, et nuper Wilam. qui Mesomedi fort. recte tribuit. Textus menda minora Lambros correxit, numerorum rationem non perspexit, quae tamen levissimis correctionibus ita restitui potest, ut poema structurae maxime elegantis et limatae appareat. 2 *νῆας* cod.: correxi 5 *βαθύκερως* vocabulum novum; de accentu vid. Chandler. s. 544 6 *εἴαρος* cod.: correxi: *θέρεος* Pyrrhichius est: *ἃ θέρεος* Wilam. 9 *τὺ* scripsi: *τὸ* (*sc. τέλος*, v. 4) cod. 9, 10 *Ἄϊδος, ὁ χθόνιος* scripsi: *Ἄϊδός τε καὶ χθόνιος* cod. contra numerum: *ὁ* necessarium est ut servetur synaphea, *τε καὶ* dittographia esse videtur vocabulorum *τὸ καλεῦσι*: ⟨*τοῦτο*⟩ *τὸ καλεῦσι πῦρ* ⟨*οὐρανοῦ τ'*⟩ *Ἄιδου τε καὶ χθ.* Wilam. 13 *τὺ* scripsi: *τὸ* MS.: *τοῦ νηπιάχου* Wilam. 14 *τέλειον* cod.: correxi 16 seges Saturnia 17 *διφρηλάτα* cod.: corr. Del. *ἄστρα διφρήλατα* Wilam., sed obsunt metrum et *ἀνάκτορα*. Nempe rerum habenas Isis habet, vv. 7, 8 Numeri igitur Paeonici sunt (Paeon primus et quartus passim, secundus vv. 13, 16, tertius v. 9) et Cretici, Palimbacchiis variati (vv. 1, 5, 11, 14, 15, 16) qui Paeonibus affines sunt. Numerorum rationem aliquatenus agnovit Scholiasta cum *δεκάσημον* appellaret, sed scriba ipse structuram obscuraverat. Numeros similes, Paeonas Creticis mixtos, exhibent Hymni Delphici. Artificis docti et diligentis limam adeo prae se ferunt numerorum concinnitas, synapheae cura, rhythmi *δεκασήμου* varietas, ut inter miseros

μειούρους, sive anapaestos sive hexametros, vel vagos et effrenatos Ionicos, et aetatis serioris inopiam poema emineat. Vide quae de his duobus carminibus in Praefatione scripsi

## 37 Aulodiae

. . . . . . . . .

*μηδ' ἀδικεῖν ζήτει, μηδ' ἂν ἀδικῇ προσερίσῃς·*
*φεῦγε φόνους καὶ φεῦγε μάχας, φεῖσαι δὲ διαφρονεῖν,*
*εἰς δ' ὀλίγον πονέσεις, καὶ δεύτερον οὐ μεταμέλῃ.*
*Αὔλει μοι.*

*Εἶδες ἔαρ, χειμῶνα, θέρος· ταῦτ' ἐστὶ διόλου·*
*ἥλιος αὐτὸς ἔδυ, καὶ νὺξ τὰ τεταγμέν' ἀπέχει·*
*μὴ κοπία ζητεῖν πόθεν ἥλιος ἢ πόθεν ὕδωρ,*
*ἀλλὰ πόθεν τὸ μύρον καὶ τοὺς στεφάνους ἀγοράσῃς.*
*Αὔλει μοι.*

*Κρήνας αὐτορύτους μέλιτος τρεῖς ἤθελον ἔχειν,*
*πέντε γαλακτορύτους, οἴνου δέκα, δώδεκα μύρου,*
*καὶ δύο πηγαίων ὑδάτων, καὶ τρεῖς χιονέων·*
*παῖδα κατὰ κρήνην καὶ παρθένον ἤθελον ἔχειν.*
*Αὔλει μοι.*

*Λύδιος αὐλὸς ἐμοὶ τὰ δὲ Λύδια παίγματα λύρας,*
*καὶ Φρύγιος κάλαμος τὰ δὲ ταύρεα τύμπανα πονεῖ·*
*ταῦτα ζῶν ᾆσαί τ' ἔραμαι, καί, ὅταν ἀποθάνω,*
*αὐλὸν ὑπὲρ κεφαλῆς θέτε μοι, παρὰ ποσσὶ δὲ λύραν.*
*Αὔλει μοι.*

*Μέτρα τίς ἂν πλούτου, τίς ἀνεύρατο μέτρα πενίας,*
*ἢ τίς ἐν ἀνθρώποις χρυσοῦ πάλιν εὕρατο μέτρον;*
*νῦν γὰρ ὁ χρήματ' ἔχων ἔτι πλείονα χρήματα θέλει,*
*πλούσιος ὢν δ' ὁ τάλας βασανίζεται ὥσπερ ὁ πένης.*
*Αὔλει μοι.*

*Νεκρὸν ἐάν ποθ' ἴδῃς καὶ μνήματα κωφὰ παράγῃς,*
*κοινὸν ἔσοπτρον ὁρᾷς· ὁ θανὼν οὕτως προσεδόκα.*
*Ὁ χρόνος ἐστὶ δάνος, τὸ ζῆν πικρός ἐσθ' ὁ δανίσας,*
*κἂν τότ' ἀπαιτῆσαί σε θέλῃ, κλαίων ἀποδιδοῖς.*
*Αὔλει μοι.*

*Ξέρξης ἦν βασιλεὺς ὁ λέγων Δϊ πάντα μερίσαι,*
*ὃς δυσὶ πηδαλίοις μόνος ἔσχισε Λήμνιον ὕδωρ.*
*Ὄλβιος ἦν ὁ Μίδας, τρὶς δ' ὄλβιος ἦν ὁ Κινύρας,*
*ἀλλὰ τίς εἰς Ἀΐδα ὀβολοῦ πλέον ἤλυθεν ἔχων;*
*Αὔλει μοι.*

*Pap. Hibeh*, i. 2. Hoc fragmentum partem prioris poematis continere, quamvis non eiusdem papyri, verisimile esse censent Gr. et Hunt, sed vid. adnot. sub finem Cetera nimis exigua sunt quam ut exscribantur. 2 δυστέκμαρτον Crön. 3 suppl. Crön. 4 ἐπικαλύπτεται vel ἐγκαλ- Crön. 5 ὁ τετυφωμένος Körte 6 ευ̣τροπος pap.: Gr. et Hunt conferunt Epicharm. 258 K ὁ τρόπος ἀνθρώποισι δαίμων ἀγαθός, οἷς δὲ καὶ κακός, sed propter π̣ post δαίμων scriptum dubitant num versus hoc modo explendus sit; tamen explet Crönert. De εὔτροπος dubito; quanquam enim apud Epicharmum — ⏑⏑ — fort. ter incipit versus trochaicus, αἰολίαι 44 K, βαμβραδόνες 60; καὶ σκιφίας 58 (non enim adnumeres αἰ πὸτ ἀρῖθμόν 170. 6, neque ζῶμεν ἀρῖθμῷ 255); in pseud-Epicharmeis nullum est exemplum; neque poetae recentioris aetatis, Aristophanes (nam in Equit. 319

Νὴ Δὶ κἀμέ, non Νὴ Δία legendum, Dind.), Euripides (qui liberior erat), Menander, hanc licentiam sibi permiserunt. Sed vid. Wilam. ad Isyllum, p. 8. Neque Epicharmus ipse caesuram velut εὔτροπος ἀν- sibi permisit 8 fort. ἀρτίνους 9 fort. καὶ παραίνεσις: διήγησις Crön., qui versum explevit. Quod formae Doricae dialecti non suppetunt, nihil de auctore efficere credunt edd., neque enim frag. prius Doricam severam exhibet; sed certe exspectes ποτί, v. 1, ut in fr. 1. Credibile est alios Γνώμας sententiam περὶ τοῦ τρόπου expressisse, velut Menand. Ἐπιτρ. 550 sqq., et trochaicis quales Chares scripsit, fr. 1. Memoratu dignum est hoc frag. et Charetis quae sequuntur fere eodem tempore, *sc.* inter 280 et 240 a. C., sed non eadem manu, scripta esse, et fortasse ex iisdem sepulcris ad Hibeh provenisse (Gerhard, *Chares*, pp. 8, 14). Porro paragraphi col. ii μονόστιχα arguunt, quae si non scripsit Chares, imitatus est. Quae omnia, quanquam Charetem auctorem indicant, quod etiam Gerhard, p. 9, submonet, non efficiunt

3 Ἐπ]ιχάρμο[υ]

[Τοὺς τρόπους χείρω γυναῖ]κα φάμ' ἐγὼ τῶν θηρ[ίων]
[εἶμεν· ὅστις γ]ὰρ λέοντι σῖτον ἢ ποτὸν [φέρει]
ἢ κυσὶν Μολοσσικοῖσ[ιν ἢ]
[θῆρε]ς αἰκάλλοντι το[ῖ]σι[ν εὖ ποεῦσιν εὐμενεῖς·]
ἁ [γ]υνὰ δὲ τὸν τρέφοντα [πρῶτον εἴθισται δακεῖν].

*Berl. Klass. Texte*, v. ii, p. 124. Pap. saec. ii. a. C. est. Expleverunt edd. Berolin. Axiopisti esse fragmentum credibile est. 4 σαικαλοντι, ο ex ω corr., pap. His conferunt edd. fr. 286 K σώφρονος γυναικὸς ἀρετὰ τὸν συνόντα μὴ ἀδικεῖν, et versus sequentes (a Kaibelio omissos) ap. Lorenz., p. 265, e Stob. Hense, iv, p. 529

4

Τὸ δὲ γαμεῖν ὅμοιόν ἐστι τῷ τρὶς ἓξ ἢ τρεῖς μόνους
ἀπὸ τύχης βαλεῖν· ἐὰν μὲν γὰρ λάβῃς τεταγμέναν
τοῖς τρόποις καὶ τἄλλ' ἄλυπον, εὐτυχήσεις τῷ γάμῳ·
αἰ δέ κα φιλόξενόν τε καὶ λάλον καὶ δαψιλῆ,
οὐ γυναῖχ' ἕξεις, διὰ βίου δ' ἀτυχίαν κοσμουμέναν.

Stob. Hense, iv, p. 529 1 μόνους Mein.: κύβους μόνους M A: κύβους (sine μόνους) S, Ahrens 2 τεταγμέναν rest. Mein.: -ην MSS. 4 εἰ δὲ καὶ MSS.: corr. Mein.

5

† Ταλεας γὰρ ἔσθ' ὁ φρόνιμος· ὡς δὲ τοῦθ' οὕτως ἔχει,
χῶρος οἰκία τυραννὶς πλοῦτος ἰσχὺς καλλονὰ
ἄφρονος ἀνθρώπου τυχόντα καταγέλαστα γίνεται.

In testa saec. iii. Wilamowitz in *Sitzungsb. d. k. preuss. Akad.*, 1918, p. 742. Cf. Aristot. προτρεπτικόν, fr. 57, Rose[3], ap. Stob. iii, p. 200, Wachs. et H. In v. 1 sensus postulat, e. g. εὐλαβής vel ἐπιμελής: ὡς = σημεῖον δέ: post τοῦθ' et καλλονὰ mavult interpungere Wilam.

6

Ἁδοναὶ δ' εἰσὶν βροτοῖσιν ἀνόσιοι λᾳστήριοι·
καταπεπόντισται γὰρ εὐθὺς ἁδοναῖς ἀνὴρ ἁλούς.

*indidem.* 1 λαστηριοι test. 2 αρην test.

# ΧΑΡΗΤΟΣ ΓΝΩΜΑΙ

## CHARES

1

*Μὴ φθόνει τοῖς εὐτυχοῦσι, μὴ δοκῇς εἶναι κακός.*

Stob. 38. 3, Hense, iii, p. 709. Fragg. 1, 2, 4, vv. 22–24 Crateti reddere voluit Bergk, *P. L. G.* ii. 372. De aliis Trochaicis qui Cratetis esse possunt vid. ad fin. pseud-Epicharm. 2

2

*Γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν,*
*μόνη γὰρ ὧν πέπονθεν οὐκ ἔχει χάριν,*
*ἀεὶ δὲ τοῦ δέοντος ἐνδεῖται πλέον·*
*ὅστις δὲ γαστρὸς μὴ κρατεῖν ἐπίσταται,*
*οὗτος τὰ πλείω τῶν κακῶν ἔχει κακά.*

Stob. 17. 3, Hense, iii, p. 490. 1, 2 ap. Greg. Naz. c. x, *de Virtute*, 585 (Migne, xxxvii. 722); vid. ad fr. 3. Ad Cratetem rettulit Bergk, sed Χάρητος habet lemma 3 δοθέντος Nauck 4, 5 ap. Boiss. *Anecd. Gr.* iii. 469, sine auctoris nomine. Novum frag. esse suspicatur Mein.

3

*Δαπάνην ἄκαιρον μηδαμῶς προσίεσο.*

Lydus, *de Mens.* iv. 113, p. 152, Wünsch, ὁ Χάρης φησίν· Δαπάνην κτλ. Sequitur versus (fr. 2)

γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν.

4 Papyri

Fr. a

[. . . . . . . . . τὰ κ]αλὰ καὶ δίκαι[α δρᾶν]
[. . . . . . . . . . . .] . δόξα ἀγηρα[. . . . . .]
[. . . . . . . . . . . .]σι παῖ πατρὸς γε̣ρ̣[αιτέρου]
[. . . . . . . . . . . . .]ωι σωφρονεστέρ[ωι . . .]

[Ἔλπιζε τιμῶν το]ὺς θεοὺς πράξειν [καλῶς]
[. . . . . . . . . .]μποιεῖν τὸν Ἡρα[κλῆ]
[καὶ τοὺς τεκόντας] [ἐ]ξ ἴσου σέβου [θεοῖς]
[Ὀργὴν ἑταίρων καὶ] φίλων πειρῶ φέ[ρειν]
[. . . . . . . . . .]ων μὴ κακῶν γι[. . . . .]
[Ἔργων πονηρῶν] χεῖρα ἐλευθέ[ραν ἔχε]
. . . . . . .

Fr. b

. . . . . . .
[. . . . . . . . . .] . . . μὴ πρ[άσ]σει[ν] κακ[ῶς]
[. . . . . . . . . . . .] . α . ἠδικημένος
[. . . . . . . . . . . .] εὐμαρέστερος
[. . . . . . . . . . .] . ισθῆναι κακο[.]
[. . . . . . . . . . . . . .] τὰ ψευδῆ λέγειν
[. . . . . . . . . .] τἀληθῆ λέγων
[. . . . . . . .]ν τοῖς φίλοισιν εὐμαρῶ[ς]
[Μὴ τοὺς κακοὺ]ς οἴκτειρε πράσσοντας [κακῶς]
[. . . . . . . . . βέ]βαιος ἠτυχηκότι
[Ὀργῆς ἕκατι κρυ]πτὰ μὴ ἐκφάνῃς φίλο[υ]
[. . . . . . . . . . . . .]οιου προμηθίας
[Γλώσσης μάλιστα] π[αντ]αχοῦ πειρῶ κρατ[εῖν]
[ὃ καὶ γέροντι κα]ὶ ν[έω]ι τιμὴν φέρει
[Ἡ γλῶσσα σιγὴν κ]αιρ[ί]αν κεκτημένη
[. . . . . . . . . .] . [. . .] . . . . θυμοῦ λαβεῖν
[. . . . . . . .] . . . . . . . βλάβην φέρει
[. . . . . . . .] . . . [.] . [.] . . . . ωπο|υς ἔχειν
[. . . .] . . . . ιη νο|μίζεται
[. . . . . . . . . . . . . . . .]ν ἐκφοβούμενο[.]
[. . . . . . . . . . . . . . . .] . . θων τύχηι
[. . . . . . . . . . . . . . . .] . εκφ . . . υς ὅλων
[. . . . . . . . . . . . . . . .]α συντελεῖ τύχη

Fr. c

λύσιν πονηρῶ[ν . . . . . . . . . . . . . . . . .]
ἐσθλοῖσι δαίμων [. . . . . . . . . . . . . . .]
. φηνελε[.]ι . ητ[. . . . . . . . . . . . . . . . . .]

μόνη [. . . . . . . . . . . . . . . . . . . . . . .]
κ̣ . ην̣η γὰρ [. . . . . . . . . . . . . . . . . . . .]
*Η μὴ λ̣έγε ει[. . . . . . . . . . . . . . . . . . .]
Μηθενὸς αμ[. . . . . . . . . . . . . . . . . . . . .]
Ὁ μὴ λέγων [. . . . . . . . . . . . . . . . . . . . .]
[.] . μ̣ [.]η̣ χαρι [. . . . . . . . . . . . . . . . . . . .]
βλαπ[τ . . . . . . . . . . . . . . . . . . . . .]
πλουτο . [. . . . . . . . . . . . . . . . . . . . .]
[.] . [.]ε̣σ̣μα̣ [. . . . . . . . . . . . . . . . . . . .]
[.] . [.] . . τ . [. . . . . . . . . . . . . . . . . . . . .]
[.] . [.] αδ . . [. . . . . . . . . . . . . . . . . . . . .]
[.] . [.] . . . . η [. . . . . . . . . . . . . . . . . . . .]
[Μ]η̣[θ]ὲν π̣ο̣ι̣εῖν [. . . . . . . . . . . . . . . .]
[.] . . [ἐ]ξυβρί[ζ]ει [. . . . . . . . . . . . . . . . . .]
[.] α̣ . [. .] ε̣υχ̣ευσ[. . . . . . . . . . . . . . . . . .]
[.] . [. . . . . .]ω[. . . . . . . . . . . . . . . . . . .]
. . . . . . . .

Fr. d

. . . . . . . .

. . . . .] π̣αε̣ι̣ [. . . .
. . . .]δ̣ει φρ̣[. . .
. . . .] . κ̣α̣ι̣ [. . . . .
. . . .] σ̣ο̣ρει̣ [. . . .

Fr. e

. . . . . . . .

. . . . .]ε̣ . [. . . .
. . . .]ι̣νε . [. . . .

. . . . . . . .

Fr. f

. . . . . . . .

. . . . .]ρ̣ . [. . . . .

. . . . . . . .

Papyrus in priore parte saeculi tertii a. C. scripta est. Nomen auctoris non servat; verum cum vv. 22–24 γλώσσης μάλιστα κτλ. apud Stobaeum 33. 4, Hense, iii, p. 678, inveniantur Χάρητος nomine praeposito, de re

ambigi non potest. Primus edidit G. A. Gerhard in *Sitzungsb. d. Heidelberger Akad. der Wissensch.*, 1912, Abhandlung 13, qui ordinem sententiarum ita restituit: 1–4 De reverentia erga seniores. [Sed 1–4 potius Prooemium est; inde de dis loquitur poeta, mox de parentibus, nam is rerum ordo solitus est, vid. n. ad v. 7, ut Πρῶτα Θεὸν τίμα, μετέπειτα δὲ σεῖο γονῆας, Pseud. Phocyl. 8] 5–7 De reverentia erga deos 8–9 Morigeratio erga amicos 10 De scelere vitando 11–14? fortasse: Melius esse iniurias ferre quam infligere 15–17? De mendacio et veritate erga amicos 18–19 Quomodo infelices tractare oporteat 20–21 Amicorum commissa tegere oportere 22–24 De moderatione linguae 25–28? De ira? 29–32? De fortuna 33–37? Bonos homines malo liberari (?) 38–41? De sermone (?) 42–47? Damnosas esse divitias (?) 48–51? De superbia? vid. O. Hensium, *Rhein. Mus.* 72, 14 sqq.

Conferenda est omnino Isocratis Ep. ad Demonicum: vv. 1–4 = Dem. 9–12; 5 ἔλπιζε Dem. 24; 6 Ἡρακλῆ = Dem. 8 et 50; 8, 22 πειρῶ (in talibus sententiis usitatum, Men. Monost. 364, Eur. Erechth. fr. 362. 14) Dem. 24 bis, 28, 40, 43; 5, 7?, 8 = Dem. 16; 22 = Dem. 40. Similes sententias sed prosa oratione scriptas (in usum scholarum, ut vidit Diels) exhibet Gnomologium ad Cyzicum repertum prope eiusdem aetatis, *sc.* circ. 300 a. C. *Journ. Hell. Stud.* xxvii. i (1907), p. 63, F. W. Hasluck; et vid. Gerhardum, *Die gnomische Poesie der Hellenistenzeit*, 'Phoinix von Kolophon', pp. 228 sqq.; O. Hensium, in *Berl. Phil. Woch.*, 1907, pp. 765 sqq. Fr. a. 1 ἀεὶ μέλοι σοι τὰ καλὰ καὶ δίκαια δρᾶν O. Hense: vel ἔστω μέλον σοι, vel σπούδαζ' ἀεὶ σύ 2 δόξα γῆράς ἐστι δή Gerhard, qui δόξ' ἀγήραός γέ τις, vel ἀγήραντος non laudat. Melius Hense δόξα ἀγήρατος μένει, qui versum ita explet: τῷ ταῦτα δρῶντι δ. ἀγ. μ. Sed accusativum exspectes; neque littera ι facile discerni potest 3 πείθου λόγοισι Gerh. 4 εἴκειν σε γὰρ τῷ σωφρονεστέρῳ χρεών Hense, quod mavult Gerh., qui primo coniecerat πείσῃ γὰρ αὐτῷ σωφρονεστέρῳ γε σοῦ, vel πολύ 5 = Menand. Monost. 142 Mein. ubi τὸν θεὸν legitur 6 αὐτῷ δὲ δρῶντι συμποιεῖν τὸν Ἡρακλῆ Crusius, coll. Eur. Frag. 432. 2, et Babr. xx ἀεὶ γὰρ οὕτω δὴ ποιεῖν τὸν Ἡρακλῆ 7 θνητῶν δὲ μηδέν' ἐξ ἴσου σέβου θεοῖς Philippson: fort. καὶ τοὺς τεκόντας ἐξ ἴσου σέβου θεοῖς: cf. Men. Monost. 230 Θεὸν προτίμα, δεύτερον τοὺς σοὺς γονεῖς, 378 νόμος γονεῦσιν ἰσοθέους τιμὰς νέμειν, et 379, Pind. Pyth. vi. 23 sqq., Eur. Fr. 853 N, Isocr. ad Demon. 16: λέγοντες αὖθις οὐ σέβουσιν ὡς θεόν F. Boll 8 Men. Monost. 442 Mein., ubi legitur ἑταίρου καὶ φίλου 9 ἐσθλῶν δ' ἑταιρῶν, μὴ κακῶν, γίγνου φίλος Gerh. 10 = Men. Monost. 148 Mein. ἐργῶν πονηρῶν χεῖρ' ἐλευθέραν ἔχε Fr. b. 11 μὴ πράσσειν κακῶς Gerh. 12 γὰρ ἠδικ. Gerh. 14 vel κακω[.] νομισθῆναι dubitanter Gerh. 16, 17 ἀλλὰ τἀληθῆ λέγων | φέρεις ὄνησιν Hense: ἔχεις ὁμιλεῖν Gerh. 18 = Men. Monost. 345 (πράξαντας A) 19 ἐσθλῷ δ' ἔσῃ βέβαιος Gerh.: ἐσθλῷ δ' ἕπου dubitanter Hense, vel παρών: ἐσθλῷ φίλος Crusius: ἐ. παρὼν Schöll. 20 εκφαινεις pap.: ἐκφήνῃς corr. Gerh. Sed Menand. Monost. 418 habet ὀργῆς χάριν τὰ κρυπτὰ μὴ 'κφάνῃς φίλου; tabula lignea in Aegypto reperta (*Bull. Corr. Hell.* xxviii, p. 208) a puero scripta οργης εκατι κρυπτα μη εκφανης φιλου quater exhibet; Philem. 233 K ὀργῆς χάριν τὰ κρυπτὰ μὴ φάνῃς φίλου, cf. Menand. Monost. 271 μηδὲν ἐκφάνῃς ὅλως: ἔφανα forma Hellenistica est, Blass, *Gramm. New Test. Greek*[2], p. 40, Meisterhans, *Gramm. Att. Inschr.*[3], p. 182, n. 1505. Cod. A Μονοστίχων habet ὀργῇ κρατεῖ τὰ *Abh. Bayer. Akad.* xv. 441 ubi ἕκατι corruptum est. Gravius dicta sunt ἕκατι et κρυπτά quam χάριν et τὰ κρυπτά 21 πάντως δὲ λήθην μὴ ποίου haesitanter Gerh. 22–24 = Chares, fr. 2, Nauck, ap. Stob. 33. 4, Hense, iii, p. 678 = Men. Monost. 80, ubi πανταχῇ error est 22 ap. Lydum, *de Mens.* iv. 113, p. 152, Wünsch: versus 23 et 24, quos damnaverat F. W. Schmidt, confirmat pap. 22–24

ad Cratetem rettulit Bergk, *P. L. G.* ii. 372 25 fort. ante θυμοῦ, μ̣ε̣τ̣α̣: πειρῶ χαλινὸν ἔμπεδον Gerh. 27 fort. ἀνθρώπους, sed ρ vix potest legi, Gerh. Fr. c. 33 λύσιν πονηρῶν πραγμάτων ἔδωκέ πως Gerh.

λύσιν πονηρῶν πραγμάτων δίδωσ' ἑκὼν
ἐσθλοῖσι δαίμων, οὐ δίδωσι τοῖς κακοῖς

Hense 35 vel ε̣ψηνεμ̣[.]ι: ἐφ' ἦν? Vix ἔφηνε, vid. 20 36 κρήνη? 38 cf. Men. Monost. 208 ἢ λέγε τι σιγῆς κρεῖττον, ἢ σιγὴν ἔχε Gerh. 43 πλουτῳ mavult Gerh. 48 ποίει? Gerh. 49 τὸ δ' ἐξυβρίζειν coni. Gerh. Fr. d. 53 δεῖ φρενῶν? Sed cum littera ε super φ scripta esse videatur, fort. δεῖ φέρειν Gerh. Finis, ut videtur, sententiarum

# CLEANTHES

## 1 Ὕμνος εἰς Δία

*Κύδιστ' ἀθανάτων, πολυώνυμε παγκρατὲς αἰεί,*
*Ζεῦ φύσεως ἀρχηγέ, νόμου μετὰ πάντα κυβερνῶν,*
*χαῖρε· σὲ γὰρ καὶ πᾶσι θέμις θνητοῖσι προσαυδᾶν.*
*Ἐκ σοῦ γὰρ γενόμεσθα, θεοῦ μίμημα λαχόντες*
*μοῦνοι, ὅσα ζώει τε καὶ ἕρπει θνήτ' ἐπὶ γαῖαν·*
*τῷ σε καθυμνήσω, καὶ σὸν κράτος αἰὲν ἀείσω.*
*Σοὶ δὴ πᾶς ὅδε κόσμος ἑλισσόμενος περὶ γαῖαν*
*πείθεται ᾗ κεν ἄγῃς, καὶ ἑκὼν ὑπὸ σεῖο κρατεῖται·*
*τοῖον ἔχεις ὑποεργὸν ἀνικήτοις ἐνὶ χερσὶν*
*ἀμφήκη πυρόεντ' αἰειζώοντα κεραυνόν·*
*τοῦ γὰρ ὑπὸ πληγῆς φύσεως πάντ' ἔργα βέβηκεν,*
*ᾧ σὺ κατευθύνεις κοινὸν λόγον, ὃς διὰ πάντων*
*φοιτᾷ μιγνύμενος μεγάλῳ μικροῖς τε φάεσσιν . . . .*
*[ὡς τόσσος γεγαὼς ὕπατος βασιλεὺς διὰ παντός.]*
*Οὐδέ τι γίγνεται ἔργον ἐπὶ χθονὶ σοῦ δίχα, δαῖμον,*
*οὔτε κατ' αἰθέριον θεῖον πόλον, οὔτ' ἐνὶ πόντῳ,*
*πλὴν ὁπόσα ῥέζουσι κακοὶ σφετέραισιν ἀνοίαις.*
*Ἀλλὰ σὺ καὶ τὰ περισσὰ ἐπίστασαι ἄρτια θεῖναι,*
*καὶ κοσμεῖν τἄκοσμα, καὶ οὐ φίλα σοὶ φίλα ἐστίν.*
*Ὧδε γὰρ εἰς ἓν πάντα συνήρμοκας ἐσθλὰ κακοῖσιν,*
*ὥσθ' ἕνα γίγνεσθαι πάντων λόγον αἰὲν ἐόντα,*
*ὃν φεύγοντες ἐῶσιν ὅσοι θνητῶν κακοί εἰσιν,*
*δύσμοροι, οἵ τ' ἀγαθῶν μὲν ἀεὶ κτῆσιν ποθέοντες*

οὔτ' ἐσορῶσι θεοῦ κοινὸν νόμον οὔτε κλύουσιν,
ᾧ κεν πειθόμενοι σὺν νῷ βίον ἐσθλὸν ἔχοιεν·
αὐτοὶ δ' αὖθ' ὁρμῶσιν ἄνοι κακὸν ἄλλος ἐπ' ἄλλο,
οἱ μὲν ὑπὲρ δόξης σπουδὴν δυσέριστον ἔχοντες,
οἱ δ' ἐπὶ κερδοσύνας τετραμμένοι οὐδενὶ κόσμῳ
ἄλλοι δ' εἰς ἄνεσιν καὶ σώματος ἡδέα ἔργα
. . . . . . ἐπ' ἄλλοτε δ' ἄλλα φέρονται,
σπεύδοντες μάλα πάμπαν ἐναντία τῶνδε γενέσθαι.
Ἀλλὰ Ζεῦ πάνδωρε κελαινεφὲς ἀργικέραυνε,
ἀνθρώπους ῥύου ⟨μὲν⟩ ἀπειροσύνης ἀπὸ λυγρῆς,
ἣν σύ, πάτερ, σκέδασον ψυχῆς ἄπο, δὸς δὲ κυρῆσαι
γνώμης, ᾗ πίσυνος σὺ δίκης μέτα πάντα κυβερνᾷς,
ὄφρ' ἂν τιμηθέντες ἀμειβώμεσθά σε τιμῇ,
ὑμνοῦντες τὰ σὰ ἔργα διηνεκές, ὡς ἐπέοικε
θνητὸν ἐόντ', ἐπεὶ οὔτε βροτοῖς γέρας ἄλλο τι μεῖζον
οὔτε θεοῖς, ἢ κοινὸν ἀεὶ νόμον ἐν δίκῃ ὑμνεῖν.

Stobaeus, i, p. 25, Wachsm. *Ecl. Phys.* 1, 2 Κλεάνθους. Κύδιστε κτλ. Pearson, *Fragments of Zeno and Cleanthes*, 48; von Arnim, *Stoic. Vet. Frag.* 537. De Hymno optime disseruit J. Adam, *The Vitality of Platonism, and other Essays* (1911). 2 Ζεὺς F: corr. Brunck 3 πᾶσι F: corr. Scal. 4 θεοῦ] ἤχου F: ὅλου Bergk: γενόμεσθα λόγου (*sc.* rationis) Mein.: γενόμεσθα μόνου vel ἐκ σοῦ olim A. C. Pearson, nunc θεοῦ, quod praestat, coll. Muson. ap. Stob., Hense, v, p. 1057 καθόλου δὲ ἄνθρωπος μίμημα μὲν θεοῦ μόνον τῶν ἐπιγείων ἐστίν. Locus conflatus esse videtur cum Arati Phaen. 5 τοῦ γὰρ καὶ γένος ἐσμέν, quoniam γένος σοῦ ἐσμέν vel γενόμεσθα ἐκ σοῦ proprie dicuntur, vix γένος ἐκ σοῦ ἐσμέν. ἤχου ortum esse e glossemate IC XY, i.e. Ἰησοῦ Χριστοῦ, censet Pearson 6 ἀείσω vulg.: αἴδω F: ἀείδω Wachs. 7 δὲ F: corr. Scal. 8 σοῖο F: corr. Ursinus 9 ἔχοις ὑπὸ ἔργον F: corr. edd. ὑπὸ ante χερσὶν F, ἐνὶ Brunck, μετὰ Mein. 10 πυρόεντα ἀειζώοντα F: corr. Wachsm. κεραυνόν significare πληγὴν πυρός, quam vocat Cleanthes τόνος, docet Pearson: ὁ δὲ Κλεάνθης . . . εἰπὼν ὅτι πληγὴ πυρὸς ὁ τόνος ἐστι, κἂν ἱκανὸς ἐν τῇ ψυχῇ γένηται πρὸς τὸ ἐπιτελεῖν τὰ ἐπιβάλλοντα ἰσχὺς καλεῖται καὶ κράτος, Plut. *Sto. rep.* 7. 4; Κλεάνθης δὲ οὕτω πώς φησι . . . τὸν ἐν τῇ τῶν ὅλων οὐσίᾳ τόνον μὴ παύεσθαι Stob. i. 17. 3; cf. Heraclit. 64 Diels τὰ δὲ πάντα οἰακίζει Κεραυνός 11 πληγῆς F: corr. Brunck ἔργα βέβηκεν scripsi: ἔρηγα F cum spatio x litterarum: ἐρρίγασιν Usener: Ζεῦ, πάντ' ἔρριγεν Wachsm., sed desideratur nomen: ἔργα τελεῖται von Arnim, olim ἔργ' ἐδαμάσθη Pearson, nunc ἐρράγη vel ἔρραγεν ἔργα: sed sensus desiderat ἰθύνεται, cf. n. ad v. 10 12 λόγον κοινὸν F: corr. Ursinus 13 μεγάλων μικροῖσι F: μεγάλῳ (*sc.* Sole) Diels: μεγάλοις Brunck, v. Arnim. Post hunc versum lacunam statuit Mein.; post 14 Brunck; sed v. 14 damnat Pearson tanquam aut spurium aut corruptum; ex Orphicis fortasse sumptus est 14 ὡς F: ὃς Ursin.: ᾧ σὺ τόσος von Arnim: ὣς Petersen 16 ἐνὶ Brunck: ἐπὶ F 17 σφετέραισιν F: σφετέρῃσιν edd. ut Theogn. 712 σφῇσι πολυφροσύναις, 1234 σῇσιν ἀτασθαλίαις, cf. 838 18 τ' ins.

Sauppe post *περισσά*, sed cf. hiatum in caesura, fr. 4. 1 21 *λόγων* F : corr. Urs. *ἐόντων* F : corr. Brunck 25 *οἵ* F : corr. Urs. 26 *ἄνευ* F : em. Wachs. coll. *σὺν νῷ* 25 *κακοῦ* F : *καλοῦ* Urs. : corr. Sauppe *ἄλλα* F : corr. Sauppe 30 initio in F spatium xvi litt. variis modis expletum, velut *ἀλλὰ κακοῖς ἐπέκυρσαν* v. Arnim : *ὧδ' ἀνόητ' ἔρδουσιν* Pearson *ἄλλοτε δ'* F : *ἄλλοτεν* Usener, vid. *Jahrb. f. kl. Phil.*, 1878, p. 62 : fort. *ἐπ' ἄλλοτε ἄλλα* cum hiatu in diaeresi, ut in vv. 19, 29, 37; et cf. *δ* 236, Hes. Op. 713, Phocyl. 15. 1, Theogn. 157, 232 (= Solon. xii. 76), 318 (= Solon. xiv. 4), 992, quibus locis *ἄλλοθεν* Usener restituere vult : *ἄλλοτέ γ'* Heeren *φέροντες* F : corr. Mein. 31 *πένεσθαι* coni. Wachsm. 32 *ἀρχικέραυνε* F : corr. Mein. 33 *μὲν* ins. Scal. ante *ῥύου*, nos pone *εἴρυσσαι* Petersen : *ἐκρύου* olim Pearson, nunc *ῥύοιο*, coll. hiatum in v. 18 35 *ᾗ* F : corr. Urs. 36 *ἀμειβώμεθα* F 38 *οὔτε* Cudworth : *οὔτι* Steph. : *οὔτοι* F *ἄλλοτε* F : corr. Brunck

## 2

*Ἄγου δέ μ', ὦ Ζεῦ, καὶ σύ γ' ἡ πεπρωμένη,*
*ὅποι ποθ' ὑμῖν εἰμὶ διατεταγμένος,*
*ὡς ἕψομαί γ' ἄοκνος· ἢν δὲ μὴ θέλω*
*κακὸς γενόμενος, οὐδὲν ἧττον ἕψομαι.*

Epicteti Manuale, c. 53 *ἐπὶ παντὸς πρόχειρα ἑκτέον ταῦτα·* (seqq. versus), Vettius Valens, *Antholog.* Lib. vi, c. 9, p. 261, Kroll, *μιμήσεται τὸν τραγικὸν Εὐριπίδην* (sic) *λέγων Ἄγου κτλ.*, et Lib. vii, c. 2. Corruptius traditi sunt versus in codice quodam fortasse Petri Magistri *περὶ πολιτικῆς καταστάσεως*, A. Mai, *Script. vet. nova collectio*, ii, p. 607 (vid. Krumbacher. *Gesch. d. byzant. Litt.*, p. 239) quem memoravit Brinkmann in *Rhein. Mus.* lx. 630. Versum primum habet Epict. *Diss.* Lib. ii. 23, 42 ; iii. 22, 95 ; iv. 4, 34 ; primum et secundum iv. 1, 131. 1 *ἄγου δέ* Diss. quater, Vett. Valens : *ἄγε δή* Man. *σὺ καὶ ἡ* Schenklii A Manualis, vid. p. 425 ; *καὶ* om. cet. : *σὺ η* S in Diss. ii. 23, 42 : *σύ γ' ἡ* S corr. b, cod. Maii supra memoratus ; *σὺ καὶ ἡ* S in Diss. iii. 22, 95 ; iv. 1, 131 ; iv. 4, 34 : *σύ γ' ἡ* S corr. et apographa, Vettius Valens (sed bis *σὺ Χή* Cod. Vat. Graec. 191) ; inde hic *σύ γ' ἡ* (et *χή*) Meibom. 3 *κἂν ὀκνῶ·* Vett. Valens vi. 8, sed *γ' ἄοκνος* vii. 2 *ἢν δέ γε μὴ* Epict., *κἂν μὴ* Vett. Val. vi. 8, *ἂν δὲ μὴ* vii. 2 ; *γε* tanquam incuriose repetitum praeeunte [Petro] eieci 4 *αὐτὸ τοῦτο πείσομαι* Vett. Val. bis ; cf. v, c. 9 Locum Latine reddidit Seneca, Ep. 107. 11

## 3

*Τἀγαθὸν ἐρωτᾷς μ' οἷον ἔστ'; ἄκουε δή·*
*τεταγμένον, δίκαιον, ὅσιον, εὐσεβές,*
*κρατοῦν ἑαυτοῦ, χρήσιμον, καλόν, δέον,*
*αὐστηρόν, αὐθέκαστον, αἰεὶ συμφέρον,*
*ἄφοβον, ἄλυπον, λυσιτελές, ἀνώδυνον,*
*ὠφέλιμον, εὐάρεστον, ἀσφαλές, φίλον,*
*ἔντιμον, ⟨εὐχάριστον⟩, ὁμολογούμενον,*
*εὐκλεές, ἄτυφον, ἐπιμελές, πρᾶον, σφοδρόν,*
*χρονιζόμενον, ἄμεμπτον, αἰεὶ διαμένον.*

Clem. Alex. *Protrept.* vi. 72, p. 61 P, et *Strom.* v. 14. 110, et Euseb. *P. E.* xiii. 13, p. 679; Pearson, 75; von Arnim, 557 6, 7 Clem. *Strom.* om. ἀσφαλές, φίλον, ἔντιμον, ut unus versus exhibeatur; Eusebius in 6 habet ὠφέλιμον, εὐάρεστον, et in 7 ἔντιμον εὐάρεστον. In 7 εὐχάριστον ins. von Arnim

4

*Μὴ πρὸς δόξαν ὅρα, ἐθέλων σοφὸς αἶψα γενέσθαι,*
*μηδὲ φοβοῦ πολλῶν ἄκριτον καὶ ἀναιδέα βάξιν·*
*οὐ γὰρ πλῆθος ἔχει συνετὴν κρίσιν, οὔτε δικαίαν*
*οὔτε καλήν, ὀλίγοις δὲ παρ' ἀνδράσι τοῦτό κεν εὕροις.*

Clem. Alex. *Strom.* v. 3. 17, p. 655 P; Pearson, 100; von Arnim, 559
2 δόξαν MSS.: em. Mein.

5

*Ἀνελεύθερος πᾶς ὅστις εἰς δόξαν βλέπει,*
*ὡς δὴ παρ' ἐκείνης τευξόμενος καλοῦ τινος.*

Clem. Alex. *Strom.* v. 14. 110, p. 715 P; Pearson, 101; von Arnim, 560

6

*Κακῶς ἀκούειν κρεῖσσον ἢ λέγειν κακῶς.*

Mantiss. proverb. (*Paroegr. Gr.* ii, p. 757) Cent. i. 85; Pearson, 102; von Arnim, 561

7

*Λογισμός. Τί ποτ' ἔσθ' ὃ βούλει, Θυμέ; τοῦτό μοι φράσον.*
*Θυμός. Λέγω, Λογισμέ· πᾶν ὃ βούλομαι ποιεῖν.*
*Λ. Ἦ βασιλικόν γε· πλὴν ὅμως εἶπον πάλιν.*
*Θ. Ὧν ἂν ἐπιθυμῶ, ταῦθ' ὅπως γενήσεται.*

Galen. *de Hipp. et Plat. plac.* v. 6, vol. v, p. 476 K; Pearson, 84; von Arnim, 570. 2 λέγω scripsi: ἐγὼ λογισμόν MSS.: ἔχω Steph.: σέ γ', ὦ λογισμέ von Arnim: ποιεῖν λογισμόν Pearson: ἔχειν, λογισμέ Wyttenb. 3 ἦ addidi: βασιλικόν γε MSS.: βασιλικόν· εὖ γε Scal.: βασιλικὸν εἶπες von Arnim: ἐγὼ βασιλικός Pearson: ναὶ βασιλικόν γε Mein. 4 ὧν Cornar.: ὡς MSS.: ὅσ' Wyttenb.

8

*Ὅστις ἐπιθυμῶν ἀνέχετ' αἰσχροῦ πράγματος,*
*οὗτος ποιήσει τοῦτ', ἐὰν καιρὸν λάβῃ.*

Stob. Hense, iii, p. 281; Pearson, 95; von Arnim, 573

9

*Πόθεν ποτ' ἆρα γίνεται μοιχῶν γένος;*
*ἐκ κριθιῶντος ἀνδρὸς ἐν ἀφροδισίοις.*

Stob. Hense, iii, p. 281; Pearson, 110; von Arnim, 583. 2 tanquam in dialogo alterius personae responsum esse credit Mein.

10

*Κακουργότερον οὐδὲν διαβολῆς ἔστι πω·*
*λάθρα γὰρ ἀπατήσασα τὸν πεπεισμένον*
*μῖσος ἀναπλάττει πρὸς τὸν οὐδὲν αἴτιον.*

Stob. Hense, iii, p. 760; Pearson, 103; von Arnim, 586.

# PHOENIX

## 1 Ἴαμβοι α'

## Νίνος

*Ἀνὴρ Νίνος τις ἐγένετ', ὡς ἐγὼ 'κούω,*
*Ἀσσύριος, ὅστις εἶχε χρυσίου πόντον,*
*τάλαντα πολλῷ πλεῦνα Κασπίης ψάμμου,*
*†ὃς ὀυκϊ δ' ἀστερ' ὀυδιζωνεδιζητο,*
*οὐ πὰρ μάγοισι πῦρ ἱερὸν ἀνέστησεν,*
*ὥσπερ νόμος, ῥάβδοισι τοῦ θεοῦ ψαύων·*
*οὐ μυθιήτης, οὐ δικασπόλος κεῖνος·*
*οὐ λεωλογεῖν ἐμάνθαν', οὐκ ἀμιθρῆσαι,*
*ἀλλ' ἦν ἄριστος ἐσθίειν τε καὶ πίνειν*
*κἠρᾶν, τὰ δ' ἄλλα πάντα κατὰ πετρῶν ὤθει.*
*Ὡς δ' ἀπέθαν' ὡνήρ, πᾶσι κατέλιπε ῥῆσιν*
*ὅκου Νίνος νῦν ἐστι καὶ τὸ σῆμ' ᾄδει·*
*« Ἄκουσον, εἴτ' Ἀσσύριος εἴτε καὶ Μῆδος*
*εἶς ἢ Κοραξός, ἢ 'πὸ τῶν ἄνω λιμνῶν*
*⟨Σ⟩ινδὸς κομήτης· οὐ γὰρ ἀλλὰ κηρύσσω·*
*ἐγὼ Νίνος πάλαι ποτ' ἐγενόμην πνεῦμα,*
*νῦν δ' οὐκέτ' οὐδέν, ἀλλὰ γῆ πεποίημαι·*
*ἔχω δ' ὁκόσον ἔπαισα χὠκόσ' ἤεισα*

*χὠκόσσ' ἐράσθην [*
*τὰ δ' ὄλβι' ἡμέων δήιοι συνελθόντες*
*φέρουσιν, ὥσπερ ὠμὸν ἔριφον αἱ Βάκχαι·*
*ἐγὼ δ' ἐς Ἄιδην οὔτε χρυσὸν οὔθ' ἵππον*
*οὔτ' ἀργυρῆν ἄμαξαν ᾠχόμην ἕλκων·*
*σποδὸς δὲ πελλὴ χὠ μιτρηφόρος κεῖμαι".*

Athen. xii. 530 E *Φοῖνιξ δ' ὁ Κολοφώνιος ποιητὴς περὶ Νίνου λέγων ἐν τῷ πρώτῳ τῶν Ἰάμβων φησίν· Ἀνὴρ κτλ.* Titulum dedi. 1 *κλύω* A: corr. Mein.: *κλῦω* retinet Gerh. 3 *τάλαντα πολλῷ* E: *και ταλλα πολλον* A: *τάλαντ' ἀριθμῷ* Sitzler: *τ. Ἄπολλον* Radermacher *πλέονα* A: corr. Mein. 4 sic A, oculato teste nuper Ferrario; *οὐδ' ἰδεῖν* Cas.: *ἰδὼν* Naeke: *ἴσως* Scal.: *ὃς οὔ κεν ἀστέρ' οὐδ' ἰδεῖν* Lachm. Aliam viam ingressi sunt Sitzler, *οὐκ ἴδ' ἀσπίδ', οὐδ' ἰδεῖν*, quae sententia Kaibelio placet, et Headlam coni. *ὃς οὐκ ἴδε ζῶν ἀστέρα*, vel *ὃς οὐκ ἴδ' ἄστε', οὐδὲ νῶν ἐδίζητο*, coll. Hom. *α*. 3. Sed locus nondum sanatus. 'Neque clupeum neque hastam (vel "neque bellum neque belli gloriam") quaerebat' postulari censet Kaib.; *ὃς οὐκὶ τἄστρων ᾖδε' οὐδ' ἐδίζητο*, vel *ὃς οὐκὶ διόδους ἀστέρων ἐδίζητο* temptavi 5, 6 *πῦρ ἄσβεστον φυλάττουσιν οἱ Μάγοι, καὶ . . . ἐπᾴδουσιν . . . πρὸ τοῦ πυρὸς τὴν δέσμην τῶν ῥάβδων ἔχοντες*, Strab. xv. 15; ib. 14 *τὰ κρέα ῥάβδοις λεπτοῖς ἐφάπτονται.* Idem testatur Schol. Nicand. *Ther.* 613 5 *παρ' μαγοισι* A, unde *παμμάγοισι* Kaib. cum *ῥάβδοισι* 6 *τοῦ θεοῦ*: *sc. πυρός* 7 *μυθιήτης* Schweigh. = *orator*. Mein. confert Steph. Byz. s. v. *Αἴγινναι· τὸ πολιήτης πλεονασμὸν ἔχει τοῦ η, ὡς τὸ μυθιήτης*: *μυθηητης* A B: *μυήθη* E: *μὴν θυητής* Dind.: *θυμιήτης* Bergk 8 *γεωλογεῖν* Kaib., sed regis officia enumerantur 12 *σῆμα ἴδει* A: corr. dubitanter Naeke; Mein. confert Meleagr. *A. P.* vii. 428. 19 *τὸ δ' οὔνομα πέτρος ἀείδει.* Cf. quoque *A. P.* App. ii. 200. 5 *πέτρος ὅδε ξείνοισι βοάσεται*, ib. 423 *τάφος . . . αἰάζων*, Simon. (?) 97. 6 *βοῶσι τάφοι.* Versum damnavit Gaisford ad Hephaestion., p. 256, et Gerh., quod (1) Ninus (Nineveh) diu eversa esset, (2) in Pap. Bodl. 6 legatur *περιφέρουσι τοῦτο τὸ ῥῆ[μα]*, sequente admonitione, (3) duplicem sensum, hominis et urbis, *Νίνος* habeat. Crusius cum *ἀκούω* v. 1 coniungit 14 *Κοραξοί· ἔθνος Κόλχων* Steph. Byz. 15 *Ἰνδὸς* A: corr. Schweigh.: Steph. Byz. s. v. *Σίνδοι· τὸ Σινδικὸν γένος φασὶν εἶναι τῶν Μαιωτῶν ἀπόσπασμα*: Hesych. *Σινδίς· ἡ Σκυθίς* (Mein.): Schol. Apoll. Rhod. iv. 321 *καὶ Ἱππῶναξ δὲ μνημονεύει τὸ Σινδικὸν διάσφαγμα*, pro quibus Mein. ad Hippon. iii versum refecit *Κοραξικὸν καὶ Σ. δ.*: *λιμνῶν*, velut Palus Maeotis: *Σινδικὸς λιμήν* Scymn. 893 *ἀλλὰ* Mein.: *ἄλλα* A: reminiscitur poeta Hipponact. 13 (fort. Callimachi, Mein., vid. Hunt. *Oxyrh. Pap.* vii, p. 69) *Ἀκούσαθ' Ἱππώνακτος· οὐ γὰρ ἀλλ' ἥκω*: *ἄλια* Wilam.: *ἄλλα* Kaib. Athen. xii. 530 F, *ἀλλὰ* in praef., p. xi revocavit 16 *ποτ'* A: Ionicum, Weir Smyth, *Gr. Dial. Ion.*, pp. 280 sqq. Tales formas servat Herondas propter *παρήχησιν*, Nairn, p. lx 18 *ἔπαισα* Kaib.: *εδαισα* A: *ἐδαισάμην*, non *ἔδαισα* postulari ratus scribit *ἔδαψα* Mein., et Phoenix ipse *δαίνυσθαι* utitur, 2. 6 *ἥεισα*] *ἤλειψα* Bergk, alii alia, velut Headlam *ἥεισα* | ⟨*χὠκόσσ' ἔδωκα γαστρὶ*⟩ *χὠκόσ' ἠράσθην*: Bergk scribit *ἔχω δ' ὁκόσον ἔδαισα χὠκόσ' ἠράσθην* vel *ὁκόσσ' ἐδαισάμην τε κἠράσθην* 18, 19 in margine adscriptos esse censet Gerhard e verbis Sardanapalli adsumpta *Τόσσ' ἔχω, ὅσσ' ἔφαγον καὶ ἐφύβρισα καὶ μετ' ἐρώτων* | *τέρπν' ἐδάην* *Anth. Pal.* vii. 325; cf. fusius Athen. viii. 336 A 22 *ἐς Ἄιδην*, non *Ἄιδου*, Nauck T. Frag. Adesp. 372. 4, Alex. Aet. 3. 34 22–24 iniuria damnat Gerh., cf. Athen. viii. 336 A de Sardanapallo *καὶ γὰρ ἐγὼ σποδός εἰμι* 24 *πολλη* codd., sed exiguos cineres 'quod digitis quinque levetur onus' *τόπος* postulat: em. Mein.

## 2 E libro incerto

### Κορωνισταί

*Ἐσθλοί, κορώνῃ χεῖρα πρόσδοτε κριθέων,*
*τῇ παιδὶ τἀπόλλωνος, ἢ λέκος πυρῶν*
*ἢ ἄρτον ἢ ἥμαιθον ἢ ὅτι τις χρῄζει.*
*Δότ', ὦγαθοί, ⟨τι⟩ τῶν ἕκαστος ἐν χερσὶν*
*ἔχει κορώνῃ· χἄλα λήψεται χονδρόν·*
*φιλεῖ γὰρ αὕτη πάγχυ ταῦτα δαίνυσθαι·*
*ὁ νῦν ἅλας δοὺς αὖθι κηρίον δώσει.*
*Ὦ παῖ, θύρην ἄγκλινε, Πλοῦτος ἔκρουσε,*
*καὶ τῇ κορώνῃ παρθένος φέροι σῦκα.*
*Θεοί, γένοιτο πάντ' ἄμεμπτος ἡ κούρη,*
*κἀφνειὸν ἄνδρα κὠνομαστὸν ἐξεύροι,*
*καὶ τῷ γέροντι πατρὶ κοῦρον εἰς χεῖρας*
*καὶ μητρὶ κούρην εἰς τὰ γοῦνα κατθείη,*
*θάλος τρέφειν γυναῖκα τοῖς κασιγνήτοις.*
*Ἐγὼ δ', ὅκοι πόδες φέρωσιν, ὀφθαλμοὺς . . .*
*ἀμείβομαι Μούσῃσι πρὸς θύρῃς ᾄδων,*
*καὶ δόντι καὶ μὴ δόντι, πλεῦνα τῶν ⟨Γύ⟩γεω.*

*καὶ ἐπὶ τέλει δὲ τοῦ Ἰάμβου φησίν·*

*ἀλλ', ὦγαθοί, 'πορέξαθ' ὧν μυχὸς πλουτεῖ·*
*δός, ὦ ⟨ἄ⟩ναξ, δὸς καὶ σὺ πότνα μοι νύμφη·*
*νόμος κορώνῃ χεῖρα δοῦν' ἐπαιτούσῃ.*
*Τοσαῦτ' ἀείδω· δός τι καὶ καταχρήσει.*

Athen. viii. 359 E *οἶδα δὲ Φοίνικα τὸν Κολοφώνιον ἰαμβοποιὸν μνημονεύοντά τινων ἀνδρῶν ὡς ἀγειρόντων τῇ κορώνῃ, καὶ λέγοντα ταῦτα· Ἐσθλοί κτλ.* Titulum ex Athenaei verbis indiderunt edd. 1 *χῖδρα* Mein. 3 *τίμαιθον* B : *ἢ ἄρτισκον ἤ τι ψαιστὸν* Mein. et in Anal. ad Athen.: *ἤ τ' . . . ἤ τ'* (= *ἤτοι*), vel *ἤ τ'*, ut apud Homerum (?) : *ἢ ἄρτον τιν' ἡμίαιθον* Dobr. *ἤ'* (= *ἠέ*) bis Crusius : *ἢ τί τις* Kaib. : fort. *εἴτ' . . . εἴθ'* 4 *ἕκαστος* Casaub. : *ἑκαστός τις* A C 5 *χόνδρου* Mein. in text. errore typ.? 6 fort. *πάντα* Mein. 7 *αὖθις* A C : corr. Mein. 8 *ἤκουσε* A : corr. Bergk, coll. *Εἰρεσιώνην* ap. Homeri Vit. Herod.

*δῶμα προσετραπόμεσθ' ἀνδρὸς μέγα δυναμένοιο . . .*
*αὐταὶ ἀνακλίνεσθε θύραι, πλοῦτος γὰρ ἔσεισι*
*πολλός, σὺν πλούτῳ δὲ καὶ εὐφροσύνη τεθαλυῖα :*

*ἦκει δή* alii 9 *φέρει* A : corr. Bergk 10 desiderat Mein. *ἄμεμπτα τῇ κούρῃ* 11 *κὠυνομαστὸν* Mein., quam formam vetat Bechtel, *Gr. Dial.* iii. 11

14 κασιγνήτοις, *cognatis*, Mein., coll. scholl. AB ad O 545: ἰγνήτοις olim Bergk, vel potius ἴγνησιν vocab. Rhodium 15 ὅκοι A: corr. Dindorf πόδε Haupt φέρουσιν A: corr. Bergk: post ὀφθαλμοὺς lacunam statui: ἰφθίμους Haupt: εὐφθόγγοις vel ἀψάλτοις, et ὀφθαλμοὺς ἀμείβομαι '*praetereo*' quaerit Crusius, ἐρείδομαι A. D. Knox, Herodas, p. 395 16 Μούσας δὲ ... ᾄδω Peppmüller: Μούσαισι et θύραις A: corr. Crusius 17 πλείονα τωνγεω A: τῶν γέω B: em. O. Rossbach: τῶν λέω πλεῦνα olim Bergk, postea πλῆμα τῶν ἀγγέων: πλεῖον' ὧν αἰτέω Dind.: πλεῦνα τῶν αἰτέω Mein.: τεττίγων A. D. Knox, Herodas, p. 395: πλέονα τούτῳ γε Crusius, vel τῷ μή γε (*sc.* δοντί) κείνῳ γε Peppmüller 18–20 post 7 trans. Peppmüller 19 δός, ὦ ἄναξ Crusius, qui hiatum confert Herodae iv. 18 ὦ ἄναξ: δὸς ὦναξ A: δὸς ὦν, ἄναξ Kaib., Bergk, qui 19 et 20 transponere iubet: δός, ὦνα, δός τι Mein.: δόμου. δός, ὦναξ, καὶ Casaub. 20 δοῦν' Steph., et eliditur -αι in Phoen. 6. 22: δ' οὖν libri. Formam δοῦν tuentur εἶν = εἶναι, Inscrr. Ionicae Eretriae et Oropi; ἐξεῖν Oropi; παρῆν = παρεῖναι (παρίημι) Conze, *Reise auf Lesbos*, p. 36, l. 12; προστᾶν Erythr.; φᾶν, λέγειν Hesych.; ἀποδοῦν, ἀποδοῦναι Hesych.; θρέπτρα φίλοις ἀποδοῦν(αι), οἳ ἐμὸν πότμον γοόωντες, *B. C. H.* xiii. 315, no. 22, Paphlag. Inter μεταδοῦν' ἐθέλοι Theogn. 104 et μεταδοῦν non constat; δίδων Theocr. xxix. 9; φῦν = φῦναι Parmen. viii. 10. Non recte profert Kühner χριμφθῆν, Aesch. Suppl. 790; ἐ[πι]θῆν Collitz-Bechtel, iii. 1, 3338, 59, Epidauri, maxime incertum, neque recte Weir Smyth Isyllo tribuit, *Ionic Dialect*, s. 700. 2; sed εἶν = εἶναι apud eundem s. 709 21 τοσαῦτ' ἀείδω Bergk: τοιαῦτ' εἰδώς A: τοιοῦτον εἰδώς Mein.: εἰδὼς τοιαῦτα Schweig.

## 3 Fortasse e libro primo

*Νίνου κάδοι μάχαιρα καὶ κύλιξ αἰχμή,*
*κύμβη δὲ τόξα, δήιοι δὲ κρητῆρες,*
*ἵπποι δ' ἄκρητος, κάλαλὴ "μύρον χεῖτε".*

Athen. x. 421 D Καὶ ὁ Κολοφώνιος δὲ Φοῖνιξ φησιν· Νίνου κτλ. 1 Νίνῳ mavult Bergk 2 κόμη A: em. Haupt: κύβοι Bergk: κοτύλη Emperius: confert Gerh. Lucian. Dial. Deor. xxiii. 2 ἔχω γὰρ μετὰ τῆς κόμης καὶ τόξα, ubi verba tantum similia sunt, non sensus 3 κεῖται A: em. Lachm.

## 4 E libro incerto

*Θαλῆς γάρ, ὅστις ἀστέρων . .*
*. . . . ὀνήιστος*
*καὶ τῶν τότ', ὡς λέγουσι, πολλὸν ἀνθρώπων*
*ἐὼν ἄριστος, ἔλαβε πελλίδα χρυσῆν.*

Athen. xi. 495 D Φοῖνιξ δ' ὁ Κολοφώνιος ἐν τοῖς Ἰάμβοις ἐπὶ φιάλης τίθησι τὴν λέξιν (*sc.* πελλίς) λέγων οὕτως· Θάλης κτλ. 2 πολλῶν A: corr. Toup Post 1 lacunam suspicatus ita rest. Mein. in Babr. Choliamb.

ὀνήιστον
⟨ναύτῃσιν εὗρεν ἐμπόροισι Φοινίκων⟩,
vel Θαλῆς γάρ, ὅστις ἀστέρων ὀνήιστος
⟨ναύτῃσιν (vel Φοίνιξιν) ἐμπόροισίν ἐστιν, ἐξευρών⟩,

ἀστέρων ὀνήιστον Ursam Minorem esse ratus 'quam primus omnium observavit Thales': contulit Callim. Frag. 94 (cf. *Oxyrh. Pap.* vii,

p. 33) (Καλλίμαχος δ' οἶδεν αὐτὸν εὑρετὴν τῆς Ἄρκτου τῆς μικρᾶς, Diog. Laert. i. 23)

> Θάλητος, ὅς τ' ἦν τἄλλα δεξιὸς γνώμῃ,
> καὶ τῆς Ἁμάξης ἐλέγετο σταθμήσασθαι
> τοὺς ἀστερίσκους, ᾗ πλέουσι Φοίνικες.

Sed multa obstant; σταθμήσασθαι non idem est atque εὗρεν, et neglegenter scripsit Diog. εὑρετήν; namque Φοίνικες et maris Mediterranei nautae longe antiquiores erant Thalete; deinde ὀνήιστος non potest non revocare verba Diog. Laert. de celeberrima Bathyclis phiala, i. 28 Βαθυκλέα . . . ἐπισκῆψαι δοῦναι τῷ σοφῶν ὀνηίστῳ, et Callimachi δεξιὸς γνώμῃ. Alii non lacunam (ut Mein. Bergk, Kaib.) sed corruptelam suspicati emendant: ἀστέων Casaub. = civium, quod ferri non potest; postea Mein. ad Athen. dedit ἱστόρων cum ἔην: Θαλῆς γάρ, ἵστωρ ἀστέρων ὀνήιστος Gerh.: εὑρὼν ἀστέρων ὀνηίστους ten Brink: ὅστις ἀστέρων ἔην ἵστωρ Mikolajczak: Θαλῆς γὰρ ἀστροδιφέων ὀνήιστος Crusius. Lacunam alio modo statui

## 5 E libro incerto

> Ἐκ πελλίδος ⟨γὰρ⟩ τάργανον κατηγυίης
> χωλοῖσι δακτύλοισι τῃτέρῃ σπένδει,
> τρέμων οἷόν περ ἐν βορηίῳ νωδός.

Athen. xi. 495 E καὶ ἐν ἄλλῳ δὲ μέρει φησίν (*sc.* Φοῖνιξ ὁ Κολοφώνιος), Ἐκ πελλίδος κτλ. Priori fragmento cohaerere videtur. 1 ⟨γὰρ⟩ Mein., Bergk: ⟨δὲ⟩ Schweigh. al. καὶ τηγυίης A: em. Pors. 2 σπένδεν Crusius: τῃμέρῃ, velut Diei oblatum, Mein. 3 περ ἐν A: γέρων Mein. βορηίᾳ Diehl νωδος A: πῶλος Kaib.: ’λωπύς = ἀλώπηξ olim Mein.: λωτός Gerh.

## 6 E libro incerto

> Ἴαμβος Φοίνικος [.]η̣
> Π̣ο̣λλοῖς γε θνητῶν τἀγ[ά]θ', ὦ Ποσείδιππε,
> οὐ [σύ]μφορ' ἐστίν, ἀλλὰ δεῖ τοιαῦτ' αὐτοὺς
> [.]ο̣ν̣ . ειν ὀκο[ί]α καὶ φρονε̣[ῖ]ν ἐπίστανται.
> Νῦν δ' οἱ μὲν ἡμῶν κρή̣[γυ]οι καθεστῶτες
> π̣ολλὴν ἀφειδέως νη̣[πιέη]ν̣ ἐρεύγοντα[ι]·
> [οἳ] δ̣' ο̣ὔτε σῦκα, φασίν, οὔτ' ἐρίν' εὖντες
> πλουτοῦσι· τῷ πλούτῳ δὲ πρὸ̣ς̣ τί δεῖ χρῆ[σθ]αι,
> τοῦτ' αὐτὸ πάντων πρῶτον οὐκ ἐπίστανται·
> ἀλλ' ο̣ἰκ̣[ία]ς μὲν ἐγ λίθου σμαραγδίτου,
> εἴ πω[ς] ἀ̣νυστόν ἐστι τοῦτ' αὐτοῖς πρήσσειν̣,
> [. .]τ̣[. .] ἐχούσας καὶ στοὰς τετραστύλους

[πολλῶ]ν ταλάντων ἀξίας κατακτῶνται·
[. . . . . .] . ἑαυτ[ῶν τ]ὴν ἀναγκαίην ψυχὴν
[. . . . . . .]ησκ[. . . . το]ύτων πάντων
[. . . . . . . . .]ρα . . . . τ . ν ἐκπορίζουσιν
[. . . . λ]όγοις χρηστοῖσι σωφρονισθεῖσα
[. . . . . .] τὰ χρηστὰ καὶ τὰ συμφέροντ' εἰδῇ.
[Τοῖς οὖν] τοιούτοις ἀνδράσιν, Ποσείδιππε,
[οὐ σ]υμβέβηκεν οἰκίας μὲν κεκτῆσθαι
[κ]αλὰς καταξίας τε χρημάτων πολλῶν,
[α]ὐτοὺς δ' ὑπάρχειν ἀξίους τ[ρι]ῶν χα[λκῶ]ν;
[κ]αὶ μάλα δικαίως, ἥν τις ἐνθυμῆτ' [ὀρ]θῶς
[. . . . . . . . . . . . . . . .]ν γὰρ καὶ λίθων φροντίζουσιν.

E Florilegio Papyri ii saec. a. C., col. iii Pap. Heidelb. p. 218 supra, primus edidit G. A. Gerhard in *Phoinix von Kolophon*, 1909. [.]η post titulum ad Phoenicis Iambi aut Florilegii numerum spectare credit Diehl. 1 non ad Poseidippum Comicum Cassandrensem, sed ad Alexandrinum Epigrammatistam respicere poetam credit Gerh., qui Athenis anno 275 a. C. Zenonis et Cleanthis discipulus erat (Knaack ap. Susemihl. ii. 530; cf. *Anth. Pal.* v. 134. 3) 2 ἔδει Bucherer 3 ἔχειν Gerh.: μόν' ἔχειν Bucherer: πλουτεῖν Crusius, al.: νέμειν Diels: κοσμεῖν et κομπεῖν Hense 4 νῦν δ' οἱ μὲν ἡμῶν Crusius (coll. Heroda ii. 31), Bucherer: . . νδο . . . ρ [. .]μων pap.: πολλοὶ μὲν ἡμῶν Gerh.: fort. πολλοὶ γὰρ 5 νηπιέην Gerh.: νηστείην Crusius: νηστίην Bucherer olim: νηλίπην, *inopiam*, Bucherer: νηυσίην Diehl: verbum quod simplicem victum significat desiderat Thiele 11 τοίχους Blass: στέγας Buch.: ὀροφὰς Kreuznach: αὐλὴν Hense: κήπους Diels 13 αὐτῶν δ' ἑαυτῶν τὴν ἀναγκαίην ψυχὴν Gerh., Buch., sed mavult τὴν δ' αὖ μάθησιν τὴν ἀναγκαίην ψυχῇ 13–17 ita explevit Knox:

τροφὴν δὲ κτλ. et ψυχῇ
φύρουσιν ἀργ]ῇ σκ[ωρί]ῃ τούτων πάντων·
[κέρδη γὰρ αἰσχ]ρὰ πλοῦτον ἐκπορίζουσιν·
οὐ μὴ] κτλ., σαφέως τὰ κτλ.

14 velle poetam οὖσάν γε πολλῷ φερτέραν τούτων πάντων credit Gerh.: πολλῷ γε μᾶλλον δὴ σκοπεῖν τούτων πάντων Buch. 15 ἀγριοῦσιν αἰσχρὰ vel ἀμελοῦσιν Buch.: ἐῶσι πάμπαν κοὐδὲν Gerh. 16 [ὅκως] λόγοις Gerh., Buch. 17 εἴδη pap.: [καλῶς] et εἰδῇ (*sc.* ἡ ψυχή) Gerh.: σαφῶς Buch. 18 ita Gerh.: τοῖς δὴ Blass: explevit et interrogationis signum add. Gerh.: πῶς οὖν vel τοῖς Hense 19 νῦν συμβέβηκεν Kohl: εὖ συμβ. Gerh., Crus. 20 καλὰς mavult Gerh. quam πολλὰς 21 cf. Nicophont. Σειρ. 12. 777 K οὐκ ἄξιος τριωβόλου 23 [μόνων ξύλω]ν Gerh., qui et versum tanquam Cynicum proverbium commentus est λίθοι γάρ εἰσιν καὶ λίθων φροντίζουσιν, coll. Stob. iv. 228, Mein. σὺ ὅπως μέν σοι ὁ λίθος (statua) ὅμοιος γένηται ἐσπούδακας, ὅπως δὲ μὴ αὐτὸς λίθῳ ὅμοιος γένῃ οὐ φροντίζεις: οἶμαι· ξύλων Buch.: τυκισμάτων γάρ, deinde ὀρθῶς | τὸ πᾶν· ξύλων Hense. Sequitur lemmatis spatium, inde [. . . . . . . . . . . . . .]μ [. .]κι . [. .] ἀνιστᾶσιν, inde versuum trium initia, ν[ , α[ , ο[

# HERMEIAS

## Ἴαμβοι

Ἀκούσατ', ὦ Στώακες, ἔμποροι λήρου,
λόγων ὑποκριτῆρες, οἳ μόνοι πάντα
τὰν τοῖς πίναξι, πρίν τι τῷ σοφῷ δοῦναι,
αὐτοὶ καταρροφεῖτε, κᾆθ' ἁλίσκεσθε
ἐναντία πρήσσοντες οἷς τραγῳδεῖτε.

Athen. xiii. 563 D Ὁ Μυρτίλος ἀποβλέψας εἰς τοὺς τὰ τῆς Στοᾶς αἱρουμένους τὰ Ἑρμείου τοῦ Κουριέως ἐκ τῶν ἰάμβων προειπὼν Ἀκούσατ' . . . τραγῳδεῖτε, παιδοπῖπαι ὄντες καὶ τοῦτο μόνον ἐζηλωκότες τὸν ἀρχηγὸν ὑμῶν τῆς σοφίας Ζήνωνα τὸν Φοίνικα. στόακες A: corr. Dind., vid. Kaib. ad loc. 2 ὑποκρητῆρες A: corr. Mus. 3 πρινὴ A: corr. Pors. 5 πράσσοντες A: corr. Mein.

# PARMENO

## 1 Ἴαμβοι

Ἀνὴρ γὰρ ἕλκων οἶνον, ὡς ὕδωρ ἵππος,
Σκυθιστὶ φωνεῖ, κοὐδὲ κόππα γινώσκων . . .
κεῖται δ' ἄναυδος ἐν πίθῳ κολυμβήσας
κάθυπνος, ὡς μήκωνα φάρμακον πίνων.

Athen. v. 221 A Ἀνὴρ . . . πίνων, φησὶν ὁ Βυζάντιος Παρμένων. 2 φωνεῖ] φαίνετ(αι) Crus. κοὐδὲ Mein.: οὐδὲ A: μηδὲ Scal. κόππα A: κάππα B C et Mein., coll. Hesych. s. v. κάππα· τινὲς δὲ τὸ ἐλάχιστον, sed incerta ibi lectio γινώσκων A: γινώσκει Scal.: κοὐδὲ κάππα γινώσκων . . . lacuna statuta Mein. 4 φαρμάκων A C: corr. Cas.

## 2

Ἦλθον μακρὴν θάλασσαν, οὐκ ἄγων σῦκα
Καναῖα φόρτον.

Athen. iii. 75 F Παρμένων ὁ Βυζάντιος ἐν τοῖς ἰάμβοις τὰ ἀπὸ Κανῶν (σῦκα) τῆς Αἰολικῆς πόλεως ὡς διάφορα ἐπαινῶν φησὶν Ἦλθον κτλ. 1 ἦλθον] πλέων Mein. 2 καίνεα A: corr. Palmerius φόρτου A: corr. Cas. ἐξοχώτατον βρῶμα add. Mein.

## 3

*Αἰγύπτιε Ζεῦ Νεῖλε*

Athen. v. 203 C. Schol. Pind. Pyth. iv. 97 Κρονίδην τὸν Νεῖλόν φησιν, ὡς καὶ Παρμένων Αἰγύπτιε κτλ.

## 4

Schol. Nicand. Ther. 806 Βέμβιξ δέ ἐστι ζῷον σφηκοειδές, μέλαν τῇ χροιᾷ, κέντρῳ χρώμενον ὡς οἱ σφῆκες· μνημονεύει δὲ καὶ Παρμένων ἐν τοῖς ἰάμβοις

### 5

Steph. Byz. s. v. Βουδῖνοι. Βουδῖνοι· ἔθνος Σκυθικόν· παρὰ τὸ δινεύειν ἐπάνω ἁμαξῶν ὑπὸ βοῶν ἑλκομένων . . . Παρμένων ὁ Βυζάντιος ἐν ἰάμβων πρώτῳ

### 6

Steph. Byz. s. v. Φρίκιον. Φρίκιον· ὄρος ὑπὲρ Θερμοπυλῶν Λοκρικόν . . . λέγεται καὶ Φρικωνία καὶ Φρικωνίτης καὶ Φρικωνιάτης· κεῖται δὲ (*sc.* Φρικωνιάτης) παρὰ Παρμένοντι τῷ Βυζαντίῳ ἐν πρώτῳ ἰάμβων (προτέρῳ ἰάμβῳ MSS.: corr. Xylander)

### 7

Steph. Byz. s. v. Χιτώνη. Χιτώνη· οὕτως ἡ Ἄρτεμις· λέγεται καὶ Χιτωνία, ὡς Παρμένων ὁ Βυζάντιος. Sic Salmas. pro ὡς παρὰ μενίππῳ ὁ βυζάντιος

### 8 Incertum

Ex Schol. Ambros. in Theocr. vi. 3 Πυρρός· ὁ ἀρτίχνους, ὁ ἤδη πωγωνίτης. Εὐριπίδης· πυρσοῖς γενύεσσιν· ὁ δ' ἡμιγένειος· Παρμενίσκος· παῖδ' οὔτε γένειον πυρρὸν οὔθ' ὑπηνήτην, Scazontem restit. Haupt, παῖδ' οὐ γένειον πυρρόν, οὐδ' ὑπηνήτην et pro Παρμενίσκος Παρμένων scribit (vid. Gerhard. *Phoenix*, p. 211 n.)

# SOTADES

### 1 In Ptolemaeum Philadelphum

L. Escher, *de Sotadis Maronitae Relliquiis* (1913); Podhorsky, *de Versu Sotadeo; Diss. Philol. Vindobon.* v, 1895, pp. 107 sqq.; Christ, *Metrik*, s. 567

*Εἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖς.*

Athen. xiv. 621 A εἰρήκει γὰρ εἰς τὸν βασιλέα Πτολεμαῖον πολλὰ ⟨μὲν καὶ ἄλλα⟩ δεινά, ἀτὰρ καὶ τόδε, ὅτε τὴν ἀδελφὴν Ἀρσινόην ἐγεγαμήκει Εἰς οὐχ κτλ. et Plut. de puer. educ. 11 A. ὠθεῖς Plut.: ὤθει Ath.

### 2 In Theodorum

*Ὁ δ' ἀποστεγάσας τὸ τρῆμα τῆς ὄπισθε λαύρης*
*διὰ δενδροφόρου φάραγγος ἐξέωσε βροντὴν*
*ἠλέματον, ὁκοίην ἀροτὴρ γέρων χαλᾷ βοῦς.*

Athen. xiv. 621 B Θεοδώρου τοῦ αὐλητοῦ Φιλῖνος ἦν πατήρ, εἰς ὃν ταῦτ' ἔγραψεν (ὁ Σωτάδης)· Ὁ δὲ κτλ. Non in Philinum scripsit, ut tradunt editores, sed in Theodorum tibicinem, aequalem (Aelian. V. H. xii. 17); Susemihl, *Alexandr. Litt.* i. 246

### 3 Ἄδωνις

*Τίνα τῶν παλαιῶν ἱστοριῶν θέλετ' ἐσακοῦσαι;*

Hephaest. i. 8, p. 3, Consbr. Σωτάδου ἐξ Ἀδώνιδος et Choerob. i, p. 41 (ubi ἐπ- Consbr.)

## 4 (a) Ἰλιάς

*Σείων μελίην Πηλιάδα δεξιὸν κατ᾽ ὦμον.*

Hephaest. ii. 11, p. 9, Consbr. παρὰ Σωτάδῃ ἐν τῇ Ἰλιάδι Σείων κτλ. et Choerob. ii. 55. Iliadis versus X 133 mutatus est

Σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον.

Demetr. περὶ Ἑρμηνείας 189. Hermog. περὶ Ἰδεῶν α′ ii. 295, Spengel, p. 252, Rabe; Pseudo-Castor περὶ Μέτρων ῥητορικῶν, Studemund, p. 17. Ἰλιάδα ἔγραψε Σωτάδης μεταθεὶς τὰ τοῦ ποιητοῦ εἰς τὸ ἴδιον μέτρον, Hephaest. Schol. Ap. 108. 14 Consbr.; cf. Mart. ii. 86:

Quod nec carmine glorior supino,
nec retro lego Sotaden cinaedum.

De Odyssea Sotadea non est cur cogitemus; Escher 28 sqq.

## 4 (b) ex Iliade, ut videtur

*Ἔνθ᾽ οἱ μὲν ἐπ᾽ ἄκραισι πυραῖς νέκυες ἔκειντο*
*γῆς ἐπὶ ξένης, ὀρφανὰ τείχεα προλιπόντες*
*Ἑλλάδος ἱερῆς, καὶ μυχὸν ἑστίης πατρῴης,*
*ἥβην τ᾽ ἐρατὴν καὶ καλὸν ἡλίου πρόσωπον.*

Ap. Dion. Halic. περὶ Συνθ. Ὀνομ. p. 17 Usener, et Hermogenem περὶ Ἰδεῶν α′, p. 253 Rabe, et Schol. vi. 243, vii. 985; cf. Ps.-Castor. p. 17, Studemund, sine auctoris nomine, sed Dion. Halic. τοιαῦτ᾽ ἐστι τὰ Σωτάδεια ταυτί. 1 ἔνθ᾽ deest ap. Hermog. (nisi in Pe, Pc man. 2), et Ps.-Castorem; cf. Schol. vii. 985; servatur apud Dionys. νέκυες om. Ps.-Castor 2 ὀρφανὰ τείχεα Dion.: ὀρφανὰν αἶαν Hermog., Ps.-Castor, contra metrum 3 versum om. Hermog., Ps.-Castor; servatur ap. Dionys. 4 ἐρατὴν Hermog. Pe, quod item coni. Goeller et Herm.: ἐρατ[ειν eras.]ὴν Hermog. Ba: ἐρατεινὴν codd. Dionys., nisi F ἐραστήν. Versus effinxisse Sotadem credit Sommerbrodt ut A 52 vel E 430 illustraret; Dionysii locum ex Hermogene interpolatum esse credit Mein., *An. Al.*, p. 344. Versus quattuor qui apud Dionys. praecedunt neque Sotadis sunt neque metro Sotadeo scripti; Dionys. ipse Ἰωνικούς appellat; errat *Anonym. Walzii*, vii. 985 cum dicit ταῦτα Σωτάδου φησι Διονύσιος εἶναι, et Ioh. Sic., Walz. vi. 243 ἀπὸ Σωτάδου ταῦτα λαβών, namque ἀποδώσω γένος τὸ τετράμετρον καλούμενον Ἰωνικόν ait ipse Dionysius

## 4 (c) Fortasse ex Iliade

*Ζεὺς ὁ καὶ ζωῆς καὶ θανάτου πείρατα νωμῶν*

Stob. Ecl. i. 1. 9; vol. i, p. 24. 12 Wachs. Inter Tragicorum Adespota 472 posuit Nauck²; lyrici poetae esse credidit Mein., qui coni. ζωᾶς. Olim θανάτοιό τε πείρατα Hense, metro dactylo-epitritico; nuper versum Iliadi Sotadae tribuit. Primum Iliadis versum fortasse fuisse censet Escher

## 5

Suid. s. v. Σωτάδης. Εἰσὶ δὲ αὐτοῦ εἴδη πλεῖστα, οἷον εἰς Ἅιδου Κατάβασις, Πρίηπος, εἰς Βελεστίχην, Ἀμαζών, καὶ ἕτερα. Verba quae sequuntur, καὶ Ἐγκλειόμεναι, καὶ Παραλυτρούμενος, ὡς Ἀθηναῖός φησιν ἐν Δειπνοσοφισταῖς ad Sotadem comicum spectant: cf. infra, 23 (Kock, *F. C. G.* ii. 447). Interpolatorem Suidae verba ipsa Athenaei redarguunt, vii. 293 A, ix. 368 A. Βελεστίχη (Βιλι-) Ptolemaei Philadelphi amica erat

## 6–14 Sotadea, apud Stobaeum servata

Versus qui apud Stobaeum reperiuntur lemmate Σωτάδου praescripto a Sotade iure abiudicat Meineke, *Anal. Alex.*, p. 246 'quos autem e Stobaeo attulit (Hermannus) Sotadis versus sexaginta, ii, sive dialectum sive dictionem sive sententiam spectas, ceteris, quos Athenaeus servavit, versibus mihi quidem non similiores videntur quam insulsae istae quae Anacreontis nomen mentiuntur cantiunculae veris et genuinis Anacreonticorum carminum relliquiis': idem censent Sommerbrodt et Gerhard (*Phoenix*, p. 244). In usum Aegyptiae iuventutis composita esse censet Wilam. *Herm.* xxxiii. 54: vid. n. ad fr. 7

## 6 Sotadea

*Ἀγαθὸς εὐφυὴς δίκαιος εὐτυχὴς ὃς ἂν ζῇ,*
*τοῦ φθόνου λαβεῖν δεῖ μερίδ', ἢ μῶμον ἔχειν δεῖ.*
*Πλουτεῖ τις ἄγαν; ἀλλὰ πάθος παρέλαβεν αὐτόν.*
*Εὐσεβής τίς ἐστιν; πενίαν δέδωκεν αὐτῷ.*
*Μέγας ἐστὶ τεχνίτης; ἀτυχῆ πεποίηχ' αὐτόν.*
*Κἂν ἐπὶ τὸ μέγιστον δίκαιος κριτὴς ὑπάρχῃ,*
*δεῖ τὸν φύσει νικώμενον ἄδικον αὐτὸν εἰπεῖν.*
*Πλούσιός τίς ἐστιν; τὸ μέγα πτῶμα φοβεῖται.*
*Ἰσχυρὸς ὑπάρχει; νόσου πεῖραν εὐλαβεῖται.*
*Ἡμέρας μιᾶς ἀλυπία μέγ' ἐστὶ κέρδος.*
*Τί γάρ ἐσμεν ὅλως, ἢ ποταπῆς γεγόναμεν ὕλης;*
*Στόχασαι κατὰ σεαυτὸν τὸ βιωτικὸν νοήσας,*
*ἐκ τίνος ἐγένου καὶ τίς εἶ καὶ τίς πάλι γίνῃ.*

Stob. Flor. 98. 10; Hense, v, p. 826. 1 εὐφυὴς καὶ MSS.: καὶ seclusit Herm. ἂν ζῇ Herm.: ἐὰν ᾖ vel ζῇ MSS. 2 τὸν φθόνον MSS.: tacite corr. Gesn.[1]: τῶν φθόνων Schwartz ἢ suppl. Herm. 4 αὐτῷ Escher: αὐτῷ MSS. 5 τεχνίτης τις MSS.: τις seclusit Herm. αὐτόν MSS.: corr. Escher 11 ποδαπῆς Herm. 13 πάλιν MSS.: corr. Grotius

7

*Λύπη σε μακρὰν προφεύξεται ἀγαθὰ φρονοῦντα.*
*Μιμοῦ τὸ καλόν, καὶ μενεῖς ἐν βροτοῖς ἄριστος.*
*Νόμος ἐστὶ θεός. τοῦτον ἀεὶ πάντοτε τίμα.*
*Ξένος ὀφείλεις εἶναι τῶν οὐ καλῶς φρονούντων.*
*Οὗ καλῶς βιοῖς παράμενε, κεὐτυχεῖς τὰ πάντα.*
*Παρατήρει τὰ πάντων καλά, καὶ ταῦτα σὺ μιμοῦ.*
*Ῥῆσιν δ' ἀγαθὴν δεδομένην ⟨εὖ⟩ φύλασσε σαυτῷ.*
*Σοὶ τοῦτο γενέσθω φίλον, ⟨ἐς⟩ μηδὲν ἀτακτεῖν.*
*Τὴν ἡσυχίαν κατὰ βίον ἵνα πάντοτε τηρῇς.*
*Ὑγιαίνειν εὔχου τοῖς θεοῖς, ἐφ' ὅσον ἔχεις ζῆν.*

Stob. Ecl. iii. 1. 67, vol. iii, p. 27, Hense, sine lemmate. Versus scripti sunt κατὰ στοιχεῖον, et monostichorum (vid. inf. fr. 9) Gnomologium efficiunt (cf. *Aus der antiken Schule*, pp. 17, 18, e Papyro Bouriant. No. 1), fortasse in usum Phariae iuventutis, et Romanae aetati tribuendum, et, velut pseudo-Phocylidea, Iudaica doctrina imbutum. 5 ὅπου vulg.: corr. Brunck 7 εὖ add. Buecheler: ἀγαθὴν σὺ Herm. 8 γενέσθω φίλον· μηδὲν Trincav. ἐς add. Mein. τό σε μηδὲν ἀτακτεῖν Herm.: μηδέν ποτ' Gaisf.: μηδαμῶς Brunck. γενέσθω, τὸ φίλων μηδέν' ἀτακτεῖν. Hense, cum post ἀτακτεῖν Trincav. plene interpungeret 9 ἵνα . . . τηρῇς pro Attica locutione ὅπως τηρήσεις, usu Hellenistico

8

*Τῆς τύχης σκοπεῖν δεῖ τὸ μέγιστον ὡς ἔλαττον,*
*καὶ τὸ μὴ παρὸν μὴ θέλειν· οὐδὲ γὰρ σόν ἐστιν.*
*Ἀμφότερα μένειν οὐκ οἶδεν· ἕστηκε γὰρ οὐδέν.*
*Ἂν πλούσιος ὢν καθ' ἡμέραν σκοπῇς τὸ πλεῖον,*
*ἐς τοσοῦτον εἶ πενιχρός, ἐς ὅσον εἶ περισσός.*
*Ὡς πένης θέλει σχεῖν, καὶ πλούσιος πλέον σχεῖν,*
*ἴσον ἔχουσιν αὐτῶν αἱ ψυχαὶ τὸ μεριμνᾶν.*

Stob. Ecl. iii. 1. 66, vol. iii, p. 27, Hense. 2 ἔσται Wachsm. 3 ἕστηκε Christ.: οὐ στήκει Trincav.: ἑστήκει vulg., Mein.: ἕστηκεν Herm. 4 Ἂν Brunck, Mein.: ἐὰν Trincav. 5 ἐς Brunck, Mein.: εἰς bis Trincav. 6 θέλει σχεῖν Buecheler: θέλεις σχεῖν Trincav. πλέον σχεῖν Brunck: ἔχων Trincav.

9

*Εἰ καὶ βασιλεὺς πέφυκας, ὡς θνητὸς ἄκουσον.*
*Ἂν μακρὰ πτύῃς, φλεγματίῳ κρατεῖ περισσῷ.*
*Ἂν εὐειματῇς, ταῦτα πρὸ σοῦ προβάτιον εἶχεν.*

*Ἂν χρυσοφορῇς, τοῦτο τύχης ἐστὶν ἔπαρμα.*
*Ἂν πλούσιος ᾖς, τοῦτο χρόνων ἄδηλος ἰσχύς.*
*Ἂν ἀλαζὼν ᾖς, τοῦτ' ἀνοίας ἐστὶ φρύαγμα.*
*Ἂν δὲ σωφρονῇς, τοῦτο θεῶν δῶρον ὑπάρχει.*
*Ἡ σωφροσύνη πάρεστιν, ἂν μετρῇς σεαυτόν.*

Stob. Ecl. iii. 26, vol. iii, p. 590, Hense. Ad fr. 7 fortasse pertinere censet Hense. 2 φλεγματίῳ codd., sed φλέγματι ὦ S: φλέγματί τῳ Buecheler 3 ἂν δ' A² εὐειμονῇς Par. 3012 quod glossema esse censet Hense 6 ἀλαζὼν ᾖς A², Mein.: ἀλαζονῇς codd.; 'verbum nihili est' Mein. 6–8 desunt in cod. Par. 3012

10

*Ὁ πένης ἐλεεῖται, ὁ δὲ πλούσιος φθονεῖται,*
*Ὁ μέσως δὲ βίος κεκραμένος δίκαιός ἐστιν,*
*αὐτάρκεια γὰρ πρὸς πᾶσιν ἡδονὴ δικαία.*

Stob. Ecl. iv. 13, vol. v, p. 905, Hense. 1 Ὁ πένης ⟨μὲν⟩ ἐλεεῖθ' Mein. 2 μέσως A: μέσος S M Macarius 3 πρὸς πᾶσαν ἡδονὴν Macar.

11

*Πλειστάκις ἀδικούμενός τις ἐν ἀδικοῦντι καιρῷ*
*ἀνέχεταί τιν' οὗ μὴ θέλει διάφορος γενέσθαι.*

Stob. Ecl. iv. 32, vol. v, p. 966, Hense. 2 τις ὃ μὴ θέλει διὸ φέρει libri; emend. Escher cum Immischio; 'Eum patitur cum quo nonvult contendere': malim ᾧ τις οὗ μὴ θέλει· διὸ φέρει γενέσθαι Herm., quod Mein. se non expedire posse recte fatetur. 'Num *saeclum* dicit iniuriis plenum? an κόσμῳ scribendum?' Mein.

12

*Πῶς ἀναλύεται τὸ σῶμα; πνεύματος φυγόντος.*

Stob. Ecl. iv. 11, vol. v. 2, p. 1068, Hense. Lemma Σωσάτου corr. Gaisf. πῶς S A: ὡς Mein., interpunxit Hense

13

*Πάντων ὁ λιμὴν τῶν μερόπων ὁ θάνατός ἐστιν.*

Stob. Ecl. iv. 31, vol. v, p. 1082, Hense. πάντων δὲ Gaisf. ὁ prius om. S

14 Incertum

*Τί ποτ' ἐστι θεός; νοῦς. Τί δὲ νοῦς; φρόνησίς ἐστιν·*
*Ζῆνα δὲ σὺ νόμιζε τοῦτον ὅθεν ἔχομεν ἀεὶ ζῆν.*

Stob. Ecl. i. 1. 24, vol. i, p. 31, Wachs.: nullo lemmate; Σωτάδου ins. Wilam. *Hermes*, xxxiii. 514

15

*Αὐτὸς γὰρ Αἰὼν παντογενὴς ὁ πάντα γεννῶν*
*οὐ κρίνει δικαίως τὰ κατ' ἄνθρωπον ἕκαστον·*
*καὶ γὰρ κατὰ γαῖαν τά ⟨γε⟩ κακὰ πέφυκεν αἰεί,*
*καὶ τοῖς μεγάλοις ἀεὶ κακοῖς γέγηθ' ὁ κόσμος,*
*ὅτι πάντες ὅσοι περισσὸν ἠθέλησαν εὑρεῖν*
*ἢ μηχανικὸν ποίημ' ἢ σοφὸν μάθημα,*
*οὗτοι κακὸν εἰς τὸν θάνατον τέλος ἐποίησαν,*
*ὑπὸ τοῦ γεννήτορος κόσμου κακῶς παθόντες.*
*Σωκράτην ὁ κόσμος πεποίηκεν σοφὸν εἶναι,*
*καὶ κακῶς ἀνεῖλεν τὸν Σωκράτην ὁ κόσμος,*
*ἐν τῇ φυλακῇ κώνειον ὅτι πιὼν τέθνηκεν.*
*Πουλύποδα φαγὼν ὁ Διογένης ὠμὸν τέθνηκεν.*
*Αἰσχύλῳ γράφοντί ⟨τι⟩ ἐπιπέπτωκε χελώνη.*
*Σοφοκλῆς ῥᾶγα φαγὼν σταφυλῆς πνιγεὶς τέθνηκε.*
*Κύνες οἱ κατὰ Θρᾴκην Εὐριπίδην ἔτρωγον.*
*Τὸν θεῖον Ὅμηρον λιμὸς κατεδαπάνησεν.*

Stob. Ecl. iv. 34. 8, vol. v, p. 826, Hense. 1 ἐὼν codd.: em. Wilam. αἰών luculente, *Hellenist. Dicht.*, p. 81 n. παντοτελής Mein. 2 κρίνει vult poeta (Wilam.) 3 γε suppl. Herm. 4 om. ἀεὶ Trincav.: μεγάλοισι κακοῖσι Herm. 6 τι πρόβλημ' Nauck 13 τι add. Herm.

## Incerta

16

*Ἥρην ποτέ φασιν Δία τὸν τερπικέραυνον*

Hephaest., p. 36. 12, Consbr.; cf. *Pap. Oxyrh.* ii, p. 45, col. vii, v. 17 [Δία τὸ]ν τερπικ[έραυ]ν[ο]ν. Versum Sotadi adscribunt Gaisford et Escher, qui confert Eustath., p. 1069 ad B 432 sq. et Callim. frag. Αἰτίων, *Oxyrh. Pap.* vii, n. 1011,

Ἥρην γάρ κοτέ φασι—κύον, κύον, ἴσχεο λαιδρὲ
θυμέ· σύ γ' ἀείσῃ καὶ τά περ οὐχ ὁσίη,

quae cum hoc fragmento ad Ξ 296 spectare videntur; vid. Schol. Townl.: Farnell, *Cults* (Hera et Ἱερὸς Γάμος), i. 185 sqq. Propter ποτέ et φασίν non potest Iliadi adscribi

17

*Σκῆλας καύματι κάλυψον*

Demetr. ii. Ἑρμ. c. 189, p. 41. 22, Radermacher. σκεῖλας cod.: corr. Schneider, spectant fort. verba ad Ψ 189–191 σκῆλας καύματι κάμψον Mein., tanquam Sotadei versus finem; sed quo sensu?

Fragmenta incertae vel dubiae originis addit Podhorsky, p. 142

## 18

*Τὴν μῆνιν ἄειδε, Μοῦσα, τὴν Ἀχιλλέως μοι*

Anon. Ambr. de re Metr., Studemund, *Anecd.* i. 288. Grammatici alicuius lusum esse credit Podhorsky

## 19

*Σαρκικὸν γὰρ εἶχε χρῶτα καὶ τὸ δέρμ' ὅμοιον.*

Choer. comm. in Heph., Studemund, *Anecd.* i. 79. 9

## 20

*Βλαστεῖ δ' ἐπὶ γῆς δένδρεα παντοῖα φύοντα.*

Schol. Hephaest. Consbr., p. 261. *βρύοντα* Nauck

## 21

*Χὼς παῖς ποκα, πότνα, σὸς ἐφ' ἄμμιν τερατουργεῖς.*

Tricha de metr. Script. Gr. ap. Hephaest., Consbr., p. 392.

## 22

*Ὤδινεν ὄρος, Ζεὺς δ' ἐφοβεῖτο, τὸ δ' ἔτεκεν μῦν.*

Athen. xiv. 616 D. Tachos Aegypti rex circ. 360 a. C. Agesilaum (*ἦν γὰρ βραχὺς τὸ σῶμα*, Athen.) hoc versu lusisse fertur; Podhorsky, p. 142

## 23 Aliena

Errat Christ, *Gr. Lit.* ii. 157 cum hos versus Sotadi nostro adscribit; Comoedo recte trib. Usener, quod et ipse testatur Iulianus Halicarn., infra.

*⟨Καλῶς ἂν εἶχε νὴ Δί'⟩, εἰ μετὰ τὸ μαθεῖν*
*οὐκ ἦν παθεῖν ἃ δεῖ παθεῖν· δεῖ γὰρ μαθεῖν.*
*Εἰ δεῖ παθεῖν δὲ κἂν μάθω, τί δεῖ μαθεῖν;*
*Οὐ δεῖ μαθεῖν ἄρ' ἃ δεῖ παθεῖν· δεῖ γὰρ παθεῖν·*
*διὰ τοῦτ' ⟨ἄρ'⟩ οὐ θέλω μαθεῖν· δεῖ γὰρ παθεῖν.*

Iulianus Halicarnassensis, *Comm. in libro Iob* (cap. 37. 21 sqq.); H. Usener, *Rhein. Mus.* 55, pp. 334, 338 *Μεμφόμενος δέ που τὸ κακὸν τοῦτο μάθημά σου ὁ κωμικὸς Σωτάδης, χαριέντως διδάσκων μάταιον μόχθον εἶναι, φησίν· Εἰ μετὰ τὸ μαθεῖν κτλ.* Ita explevere Usener et Kaibel, et in primo versu ⟨*μάταιος ἦν ἂν μόχθος*⟩ vetant, tanquam contra sensum; quod si *μόχθος τοῦ μαθεῖν* intellegitur, nihil obstare videtur 2 *ἄδει* Usen. 5 ⟨*ἄρ'*⟩] vel ⟨*ἐγὼ*⟩ Usen.

## 24

Ex Eustath. ad E 40, p. 519. 31 *πρώτῳ γὰρ στρεφθέντι μεταφρένῳ ἐν δόρυ πῆξεν· Ὅρα δὲ καὶ ὅπως ὁ τὰ νῶτα δείξας ἀβοήθητός ἐστιν ὡς ἤδη κείμενος· διὸ καὶ Νέστωρ τῷ Διομήδει κειμένῳ πού φησιν, Ἔγρεο, μή τοι καθεύδοντι μεταφρένῳ ἐν δόρυ πήξῃ*: quae verba ad K 159 *Ἔγρεο, Τυδέος υἱέ·*

τί πάννυχον ὕπνον ἀωτεῖς; spectare videntur. Sternbach, *Gnomica*, versum restituit μή τίς τοι εὕδοντι μεταφρένῳ ἐν δόρυ πήξῃ, cum quo contulit Θ 95 μή τις τοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξῃ. Μή τίς τοι εὕδοντι κτλ. occurrunt in Diogenis Cynici apophthegmate, Diog. Laert. vi. 53, cui attulit Demosthenis apophthegma e Gnomologio Vaticano inedito quod μετισχίῳ pro μεταφρένῳ habet. Quae cum 'spirare Sotadeae Musae licentiam' videantur, et exitus versus in Sotadei formam decurrat, latere apud Eustathium Iliadis Sotadeae fragmentum credit Escher,

